YACE

D. IMPERATORIS MARCI ANTONINI COMMENTARIORVM QVOS SIBI IPSI SCRIPSIT LIBRI XII.

AD

OPTIMORVM LIBRORVM FIDEM

DILIGENTER RECOGNITI.

EDITIO STEREOTYPA.

[illegible]

Januar 1832.

Neuestes Verzeichniß
von Stereotypen-Ausgaben
im Verlage
von Karl Tauchnitz in Leipzig.

I. Griechische und lateinische Classiker.

1) Diese Classikerausgaben sind mit Sorgfalt gedruckt, durch Anwendung der Stereotypie sehr correct, und ungemein wohlfeil.
2) Vor jedem neuen Plattenabdrucke wird durch gelehrte Männer eine nochmalige Correctur besorgt, und die etwa noch aufgefundenen Fehler in den Platten sofort verbessert.
3) Nicht allein einzelne Buchstaben und Wörter, auch ganze Stellen können in den Platten geändert werden, so daß es möglich ist nöthigenfalls eine neue Recension irgend eines Autors in kurzer Zeit herzustellen.
4) Die Sammlung wird fortgesetzt, und soll die ganze alte classische Litteratur in sich vereinigen, auch späterhin mehrere classische Werke der Neuern aufnehmen.
5) Die bis jetzt erschienenen 180 Bände, die 70 vollständige Autoren enthalten, sind größtentheils nach den frühern Preisen um die Hälfte herabgesetzt.
6) Jeder Band der Sammlung wird auch einzeln verkauft.

Griechische Autoren.

Aeschyli Tragoediae, 6 gr.

Anacreontis Carmina, 3 gr.

Anthologia Graeca, III Voll. 21 gr.

Apollonii Rhodii Argonautica, 4 gr.

Aristophanis Comoediae, III Voll. 18 gr.

Euripidis Tragoediae, IV Vol. 18 gr.

Hesiodi Carmina, 2 gr.

Homeri Ilias, II Voll. 10 gr.

Homeri Odyssea, II Voll. 10 gr.

Homeri Opera, II Voll. 8vo *(Preisausgabe.)* 2 Thlr.

Orphica, Procli, Musaei et Callimachi Carmina, 5 gr.

Pindari Carmina, 6 gr.

Poetae Graeci Gnomici, 4 gr.

Quinti Smyrnaei, Tryphiodori, Tzetzae et Coluthi Carmina de reb. Troianis, 8 gr.

Sophoclis Tragoediae, 10 gr.

Theocritus, Bion et Moschus, 4 gr.

Aeliani Varia Historia, Heraclides Ponticus et Nicol. Damascenus, 6 gr.

Aeschinis oratoris Opera, 5 gr.

Aesopicae Fabulae, 4 gr.

Antonini Commentarii, 4 gr.

Appiani Romanae Historiae, IV Voll. 1 Thlr.

1. *Aristotelis Physicae auscultationis libri VIII*, 6 gr.
2. *Arist. Metaphysica*, 9 gr.
3. *Arist. de Coelo libri IV, de Generatione et Corruptione libri II*, 5 gr.
4. *Arist. Meteorologica et de Mundo liber*, 5 gr.
5. *Arist. Historiae animalium libri X*, 9 gr.
6. *Arist. de animalium partibus, de anim. generatione, de anim. ingressu, de anim. motu, de spiritu*, 12 gr.
7. *Arist. de Anima, de Sensu et sensili, de Memoria, de Somno, de Somniis, de Longitudine et brevitate vitae, de Iuventute et senectute, de Vita et morte, de Respiratione*, 5 gr.
8. *Arist. Categoriae, de Interpretatione, Topica, Elenchi*, 9 gr.
   (oder: *Organon P. I.*)
9. *Arist. Analytica priora et posteriora*, 7 gr.
   (oder: *Organon P. II.*)
10. *Arist. Ethicorum Nicomacheorum libri X*, 6 gr.
11. *Arist. Politicorum libri VIII et Oeconomica*, 6 gr.
12. *Arist. Rhetoricae libri III*, 5 gr.
13. *Arist. de Poetica liber, et Rhetorica ad Alexandrum*, 4 gr.
14. *Arist. Problemata*, 9 gr.
15. *Arist. Magna Moralia, Ethica Eudemea, de virtutibus et vitiis*, 9 gr.
16. *Arist. Mechanica problemata, de lineis insecabilibus, de audibilibus, de coloribus, Physiognomica, ventorum situs, de plantis, de mirabilibus auditis, de Xenophane, Zenone et Gorgia, Fragmenta*, 10 gr.

Arriani Expeditio Alex. 7 gr.

Dio Cassius, IV Voll. 1 Thlr. 8 gr.

Demosthenis Opera, V Voll. 1 Thlr. 6 gr.

Diodorus Siculus, VI Voll. 2 Thlr.

Dionysius Halicarnassensis, VI Voll. 1 Thlr. 18 gr.

Herodiani Hist. Rom. 5 gr.

Herodotus, III Voll. 18 gr.

Isaei Orationes, 5 gr.

Isocratis Orationes et Epistolae, II Voll. 14 gr.

Luciani Opera, IV Voll. 1 Thlr. 8 gr.

Lysiae Orationes, 6 gr.

Pausaniae Graeciae Descriptio, III Voll. 21 gr.

Platonis Opera, VIII Voll. 2 Thlr. 16 gr.

Plutarchi Vitae parallelae, IX Voll. 2 Thlr. 6 gr.

Plutarchi Moralia, VI Voll. 2 Thlr. 6 gr.

Polybii Historiae, IV Voll. 1 Thlr. 8 gr.

Strabo, III Voll. 1 Thlr. 3 gr.

Theophrasti Charact. Epicteti Manuale et Cebetis Tabula, 2 gr.

Thucydides, II Voll. 14 gr.

Xenophontis opera, VI Voll. 1 Thlr.

Lateinische Autoren.

Catullus, Tibullus et Propertius, 5 gr.

Horatius, 5 gr.

Martialis, 7 gr.

Ovidii Opera, III Voll. 18 gr.

Palingenii Zodiacus vitae, 12 gr.

Persius et Iuvenalis, 3 gr.

Phaedrus cum Avians et Faerni fabulis, 3 gr.

Phaedri Fabulae, 2 gr.

Plauti Comoediae, II Voll. 18 gr.

Terentii Comoediae, 6 gr.

Virgilius, 8 gr.

Aurelius Victor, 3 gr.

M. Tullii Ciceronis Opera omnia, uno volumine comprehensa, 4to. 7 Thlr. 12 gr.

M. Tullii Ciceronis Opera, X Voll. 6 Thlr. 16 gr.

M. Tullii Ciceronis Opera, in 35 Abtheilungen in Sedez.

Cornelius Nepos, 2 gr.

C. Cornelii Taciti Opera, II Voll. 14 gr.

Curtius, 8 gr.

Erasmi Colloquia, II Voll. 14 gr.

Eutropius, 2 gr.

Florus, 2 gr.

Iulius Caesar, 10 gr.

Iustinus, 5 gr.

T. Livii Historiarum libri, uno volumine comprehensi, 4to. 4 Thlr.

T. Livii Opera, IV Voll. (in Octav.) 2 Thlr. 12 gr.

T. Livii Opera, VI Voll. (in Sedez.) 1 Thlr. 17 gr.

C. Plinii Secundi Historiae Naturalis libri XXXVII, V Voll. 2 Thlr. 22 gr.

Plinii Epistolae, 7 gr.

Pomponii Melae de situ orbis, 3 gr.

Quintiliani Instit. oratoria, II Voll. 12 gr.

Sallustius, 8 gr.

Suetonius, 6 gr.

Valerius Maximus, 10 gr.

Velleius Paterculus, 3 gr.

II. Wohlfeile Wörterbücher.

Deutsch-griechisches Handwörterbuch, von M. J. A. E. Schmidt. 1 Thlr.

Griechisch-deutsches Handwörterbuch, von M. J. A. E. Schmidt. 1 Thlr.

Lexicon Graeco-Latinum manuale, ex optimis libris concinnatum. 1 Thlr. 8 gr.

Lexicon Hebraicum et Chaldaicum in libros Veteris Testamenti, ordine etymologico compositum, in usum scholarum edidit *M.* E.F. Leopold. 16 gr.

Neues vollständiges Taschenwörterbuch der englischen u. deutschen Sprache, von F.A. Weber. 1 Thlr. 12 gr.

Neues vollständiges Taschenwörterbuch der französischen u. deutschen Sprache, v. F.A. Weber. 1 Thlr. 12 gr.

Lateinisch-deutsches und deutsch-lateinisches Schulwörterbuch, bearbeitet nach den grössern Werken von Forcellini, Scheller, Bauer und Kraft, mit einem Verzeichnisse neuer geographischer Namen. 1 Thlr. 12 gr.

Russisch-deutsches u. deutsch-russisches Wörterbuch, mit Zuziehung des russischen Wörterbuchs der Academie von Petersburg, ausgearbeitet von M. J. A. E. Schmidt. 2 Thlr. 8 gr.

Schul- und Reise-Taschen-Wörterbuch der englischen u. deutschen Sprache. 16 gr.

Schul- und Reise-Taschen-Wörterbuch der französischen u. deutschen Sprache. 16 gr.

Schul- und Reise-Taschen-Wörterbuch der italienischen u. deutschen Sprache. 18 gr.

Ferner ist im Stereotypendruck erschienen:

תורה נביאים וכתובים. Biblia Hebraica, secundum editiones Ios. Athiae, Ioan. Leusden, Ioan. Simonis aliorumque, inprimis Everardi van der Hooght, recensuit *D.* Aug. Hahn. 3 Thl. 12 gr.

D. IMPERATORIS
MARCI ANTONINI
COMMENTARIORUM
QUOS SIBI IPSI SCRIPSIT
LIBRI XII.

AD
OPTIMORUM LIBRORUM FIDEM
DILIGENTER RECOGNITI.
CUM
SELECTA VARIETATE LECTIONIS
ET
ADNOTATIONIBUS CRITICIS.

CURAVIT
IO. MATTH. SCHULTZ.

EDITIO STEREOTYPA.

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.
1829.

Ladenpreis 4 Groschen.

LECTORI BENEVOLO

S. P. D.

IO. MATTH. SCHVLTZ.

Quem Tibi secundis meis curis correctiorem et emendatiorem trado libellum — certe ut correctior et emendatior prodiret operam dedi — eum iam ante viginti annos, captus singularibus eius dotibus et iuvenili quodam fervore incitatus, emendare et illustrare constitueram tantoque studio subsidia critica undique comparaveram, ut in eam rem plus facerem impensarum, quam meae ferebant fortunae, ideoque cogerer iniquissimo tempore, quo nec praeparatum mihi erat otium, neque animus curis vacuus, opus semel susceptum properantius absolvere. Ita accidit, quod non poterat non accidere: cura in his D. Antonini reliquiis recognoscendis et emendandis posita non omni ex parte id effectum est, quod spectaveram. Quamquam

enim Editionum antiquarum typis exscriptarum et Codicum manu scriptorum auxilio multifariam mea opella correctiores prodierunt, quam inde a Gatakeri temporibus legebantur, tamen omnia emendandi impetu transverse actus tribus quatuorve in locis tam iratam expertus sum D. Criticam, ut sanissima a me primum corrumperentur. Atque haec peccata mea quam clamose monstrata sint, quot quantasque temeritatis illius iuvenilis poenas et dederim et ad hunc usque diem luam, exponere neque iuvat, nec, si recte iudico, huius est loci. Id, quod ad rem pertinet, praeterire non possum, me per decem fere annos rarius hunc scriptorem in manus sumsisse, non solum quod ad alia agenda avocarer, sed maxime propterea, quod palam significatum esset, virum quendam κριτικώτατον in hoc scriptore recensendo et τεχνικῶς emendando occupatum esse. Qua de re certior factus quum facile intelligerem, talem virum, qualem se ipse, ni fallor, digito monstrarat, in critica veterum scriptorum tractatione diu et cum laude versatum, si sarcinulis a me collectis in otio et ex artis regulis usus fuisset, multo melius de his commentariis Antoninianis meriturum, quam ego, sine duce, sine monitore in hoc literarum stadium ingressus, vel diligen-

tissima opera mereri possem, consilium eos porro illustrandi prorsus abieci, etsi multa iam habebam collecta et consignata, quibus adiuvaretur intelligentia eorum locorum, quae interpretis potius, quam critici, curam flagitare viderentur. Post quum vitae consilia eversa, fortunas perturbatas viderem, adversis rebus adflictus, curisque quotidianis pressus et tantum non oppressus identidem redibam ad libellum, cui olim in simili vitae statu tantum solatii debueram, quantum nulli alii, meque ipse obsecrans, ne immemor essem sanctissimorum praeceptorum: ipsa adeo praeposita (προηγούμενα), ideoque etiam vitae consilia, etsi per se honesta, μεθ' ὑπεξαιρέσεως tantum esse sectanda; hunc quoque vitae esse fructum, ut sensui asperum, ita menti salubrem, pati et perpeti didicisse; semper inter homines fuisse semperque futuros, qui nunc palam optimum quemque conviciis proscindant, nunc clam absentes rodant amicos; nostrum esse, illorum peccata apud ipsos relinquere, nec ad nos transferre; cunctos, etiam nigros illos, quos poeta Romanum cavere iubet, invitos peccare et pro veris bonis venari opinata; non curandum, quid alii de nobis sentiant aut dicant aut scribant, sed diligenter studendum ne quis, etiamsi ingenium et acumen et indi-

cium subactum in nobis desideret, si modo verus esse velit, supinae socordiae et indiligentiae nos reos faciat—horum igitur et similium praeceptorum ne immemor essem, me obsecrans, paulatim animum revocavi ad libri illius studium temporibus remissum, nunquam prorsus intermissum. Sed quoties redibam ad libellum mihi inter paucos carum, toties me pudebat pigebatque piaculi aliquando in Manes D. Antonini a me commissi, ideoque, postquam tredecim annos frustra exspectaveram recensionem commentariorum Antonini omnibus numeris absolutam, atque consilium ceperam eos in scholis publicis interpretandi, cogitare coepi de editione illorum emendatiore, eaque et parvo parabili et scholis academicis accommodata, quae selectam varietatem lectionis et breves notas criticas contineret, ex quibus intelligi posset, quid in contextu, quem vocant, Antonini sive Editionum antiquissimarum typis exscriptarum sive Codicum manu scriptorum fide niteretur, quidve a Criticorum ingenio profectum esset. Nam quum praeter Codicem Palatinum, quem typis exscribi curavit Guil. Xylander, sed non admodum diligenter, quod neminem, qui notas et interpretationem doctissimi viri cum Graecis contulerit, latebit, unius tantum Codicis, qui to-

tum opus complecteretur, Vaticáni, eiusque non optimae notae, lectiones innotuissent, multaque exstarent in parvi voluminis libello aperte a librariis corrupta, quae Criticorum, inprimis Xylandri, Iac. et Mer. Casaubonorum, Gatakeri, Reiskii, Mori, arte persanata videbantur, nefas habebam, non uti paratis, omnesque emendationes a doctorum ingénio profectas a contextu procul habere. Constitueram igitur V.V. DD. coniecturas in ordinem recipere eas, quae omnes veritatis numeros implere videbantur iis in locis, ubi Edd. antt. et Codd. lectio sensu prorsus cassa simulque ita comparata esset, ut una tantum ratione emendari posset. Contra ubi contextus quidem manifesto depravatus esset, sed ita, ut aliae atque aliae ad eum emendandum viae pari fere probabilitate possent iniri, vulgatam et tralatitiam lectionem servandam putabam et in notis indicandum, quid Criticis visum esset de restituenda lectionis veritate. Haec dum lente agebam, allata mihi est Editio novissima Parisiensis, anno saeculi, quod agimus, XVI. curata ab Adamantino Coraio, Smyrnaeo, Medicinae Doctore et Criticorum in Galliis principe, qui voluit hos commentarios constituere Partem quartam *Παρέργων τῆς Ἑλληνικῆς Βιβλιοθήκης*, quam nobilissimo consilio et laudabili diligentia

in usum Graecorum suorum, inde ab aliquot annis adornare coeperat. Gaudebam, mihi divinitus quasi datum, cuius vestigiis insistens non facile a fine proposito aberrarem. Neque tamen mihi iurandum existimabam in verba magistri, etsi me magis in critico antiquos scriptores tractandi genere exercitati, neque tam saepe, quam Coraius, virorum doctorum coniecturis in ipso contextu locum dare ausus sum. In eo autem praestantissimi illius Critici exemplum secutus sum, quod in notis, quas ad libelli calcem adieci, non omnes, quas V.V. DD. proposuere, coniecturas, sed eas tantum memoravi, quae maiorem veri speciem habere videbantur, interque has omnes doctissimi Smyrnaei, ita ut haec editio coniuncta cum ea, quam ante duodevicesimum annum curavi, omnia fere exhibeat, quae V.V. DD. ad emendandum hunc librum ad haec usque tempora tentaverunt. His VV. DD. coniecturis uno alteroque loco addidi meas, longe plures consulto premendas censui, partim quod videndum arbitrabar, an repetita lectione placerent, partim quod persuasum habebam, non novis coniecturis onerandum libellum hac supellectile iam nimis onustum. Ceterum alius isque commodior his aliisque, quae ad illustrandum hoc opusculum faciant, locus erit

in Commentationibus Antoninianis, in quibus difficiliora loca tractare coepi, si quando mihi contigerit, ut eas absolvam earumque redemtorem reperiam.

Ad hanc autem opellam nostram, quam ut aequi bonique consulas, Te, Lector Benevole, iterum iterumque rogatum volumus, quod attinet, gavisi sumus, Carolum Tauchnitzium, typographum et bibliopolam Lipsiensem, de antiquorum scriptorum reliquiis emendatius vulgandis meritissimum, conditionem nostram accepisse, ut eius sumtibus hic liber nunc prodiret. Speciminibus typographicis corrigendis ipse praefui, mihique ea in re satis diligenter versatus videor: metuo tamen, ne me, parum huic operae adsuetum neque admodum oculatum, nonnulla effugerint vitia

Dabam Lipsiae a. d. VIII. Kal. Iul. cIↃIↃcccxx.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

ΒΙΒΛΙΟΝ Α.

ΠΑΡΑ τοῦ πάππου Οὐήρου, τὸ καλόηθες καὶ ἀόργητον.

β'. Παρὰ τῆς δόξης καὶ μνήμης, τῆς περὶ τοῦ γεννήσαντος, τὸ αἰδῆμον καὶ ἀῤῥενικόν.

γ'. Παρὰ τῆς μητρὸς, τὸ θεοσεβὲς καὶ μεταδοτικόν· καὶ ἐφεκτικὸν οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ἐπὶ ἐννοίας γίνεσθαι τοιαύτης. Ἔτι δὲ τὸ λιτὸν κατὰ τὴν δίαιταν καὶ πόῤῥω τῆς πλουσιακῆς διαγωγῆς.

δ'. Παρὰ τοῦ προπάππου, τὸ μὴ εἰς δημοσίας διατριβὰς φοιτῆσαι· καὶ τὸ ἀγαθοῖς διδασκάλοις κατ᾽ οἶκον χρήσασθαι, καὶ τὸ γνῶναι, ὅτι εἰς τὰ τοιαῦτα δεῖ ἐκτενῶς ἀναλίσκειν.

ε'. Παρὰ τοῦ τροφέως, τὸ μήτε Πρασιανὸς, μήτε Βενετιανὸς, μήτε παλμουλάριος ἢ σκουτάριος γενέ-

σθαι καὶ τὸ φερέπονον καὶ ὀλιγοδεὲς καὶ αὐτουργικον· καὶ τὸ ἀπολύπραγμον. καὶ τὸ δυσπρόσδεκτον διαβολῆς.

ς΄. Παρὰ Διογνήτου, τὸ ἀκενόσπουδον· καὶ τ ἀπιστητικὸν τοῖς ὑπὸ τῶν τερατευομένων καὶ γοήτων περὶ ἐπῳδῶν, καὶ περὶ δαιμόνων ἀποπομπῆς καὶ τῶν τοιούτων λεγομένοις· καὶ τὸ μὴ ὀρτυγοτροφεῖν, μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι· καὶ τὸ ἀνέχεσθαι παῤῥησίας· καὶ τὸ οἰκειωθῆναι φιλοσοφίᾳ καὶ τὸ ἀκοῦσαι, πρῶτον μὲν Βακχίου, εἶτα Ταντάσιδος καὶ Μαρκιανοῦ· καὶ τὸ γράψαι διαλόγους ἐν παιδί· καὶ τὸ σκίμποδος καὶ δορᾶς ἐπιθυμῆσαι, καὶ ὅσα τοιαῦτα τῆς Ἑλληνικῆς ἀγωγῆς ἐχόμενα.

ζ΄. Παρὰ Ῥουστίκου, τὸ λαβεῖν φαντασίαν τοῦ χρήζειν διορθώσεως καὶ θεραπείας τοῦ ἤθους· καὶ τὸ μὴ ἐκτραπῆναι εἰς ζῆλον σοφιστικὸν, μηδὲ [τὸ] συγγράφειν περὶ τῶν θεωρημάτων, ἢ προτρεπτικὰ λογάρια διαλέγεσθαι, ἢ φαντασιοπλήκτως τὸν ἀσκητικὸν, ἢ τὸν εὐεργετικὸν ἄνδρα ἐπιδείκνυσθαι· καὶ τὸ ἀποστῆναι ῥητορικῆς, καὶ ποιητικῆς, καὶ ἀστειολογίας· καὶ τὸ μὴ ἐν στολῇ κατ᾽ οἶκον περιπατεῖν, μηδὲ τὰ τοιαῦτα ποιεῖν· καὶ τὸ τὰ ἐπιστόλια ἀφελῶς γράφειν, οἷον τὸ ὑπ᾽ αὐτοῦ τούτου ἀπὸ Σινοέσσης τῇ μητρί μου γραφέν· καὶ τὸ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως καὶ εὐδιαλλάκτως, ἐπειδὰν τάχιστα αὐτοὶ ἐπανελθεῖν ἐθελήσωσι, διακεῖσθαι· καὶ τὸ ἀκριβῶς ἀναγινώσκειν, καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς· μηδὲ τοῖς περιλαλοῦσι ταχέως συγκατατίθεσθαι· καὶ τὸ ἐν-

τυχεῖν τοῖς Ἐπικτητείοις ὑπομνήμασιν, ὧν οἴκοθεν μετέδωκε.

η΄. Παρὰ Ἀπολλωνίου, τὸ ἐλεύθερον καὶ ἀναμφιβόλως ἀκύβευτον· καὶ πρὸς μηδὲν ἄλλο ἀποβλέπειν, μηδὲ ἐπ᾽ ὀλίγον, ἢ πρὸς τὸν λόγον· καὶ τὸ ἀεὶ ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις· καὶ τὸ ἐπὶ παραδείγματος ζῶντος ἰδεῖν ἐναργῶς, ὅτι δύναται ὁ αὐτὸς σφοδρότατος εἶναι καὶ ἀνειμένος· καὶ τὸ ἐν ταῖς ἐξηγήσεσι μὴ δυσχεραντικόν· καὶ τὸ ἰδεῖν ἄνθρωπον σαφῶς ἐλάχιςον τῶν ἑαυτοῦ καλῶν ἡγούμενον τὴν ἐμπειρίαν, καὶ τὴν ἐντρέχειαν τὴν περὶ τὸ παραδιδόναι τὰ θεωρήματα· καὶ τὸ μαθεῖν, πῶς δεῖ λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ φίλων, μήτε ἐξηττώμενον διὰ ταῦτα, μήτε ἀναισθήτως παραπέμποντα.

θ΄. Παρὰ Σέξτου, τὸ εὐμενές· καὶ τὸ παράδειγμα τοῦ οἴκου τοῦ πατρονομουμένου· καὶ τὴν ἔννοιαν τοῦ κατὰ φύσιν ζῆν· καὶ τὸ σεμνὸν ἀπλάστως· καὶ τὸ στοχαστικὸν τῶν φίλων κηδεμονικῶς· καὶ τὸ ἀνεκτικὸν τῶν ἰδιωτῶν, καὶ τὸ ἀθεώρητον τῶν οἰομένων· καὶ τὸ πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας μὲν πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν αὐτοῦ, αἰδεσιμώτατον δὲ αὐτοῖς ἐκείνοις παρ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν εἶναι· καὶ τὸ καταληπτικῶς καὶ ὁδῷ ἐξευρετικόν τε καὶ τακτικὸν τῶν εἰς βίον γκαίων δογμάτων· καὶ τὸ μηδὲ ἔμφασίν ποτε ὀργῆς, ἢ ἄλλου τινὸς πάθους παρασχεῖν, ἀλλὰ ἅμα μὲν ἀπαθέστατον εἶναι, ἅμα δὲ φιλοστοργότατον· καὶ τὸ

εὔφημον, καὶ τοῦτο ἀψοφητί· καὶ τὸ πολυμαθὲς ἀνεπιφάντως.

ι. Παρὰ Ἀλεξάνδρου τοῦ γραμματικοῦ, τὸ ἀνεπίπληκτον· καὶ τὸ μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον, ἢ σόλοικόν τι, ἢ ἀπηχὲς προενεγκαμένων, ἀλλ' ἐπιδεξίως αὐτὸ μόνον ἐκεῖνο, ὃ ἔδει εἰρῆσθαι, προφέρεσθαι, ἐν τρόπῳ ἀποκρίσεως, ἢ συνεπιμαρτυρήσεως, ἢ συνδιαλήψεως περὶ αὐτοῦ τοῦ πράγματος, οὐχὶ περὶ τοῦ ῥήματος, ἢ δι' ἑτέρας τινὸς τοιαύτης ἐμμελοῦς παρυπομνήσεως.

ια. Παρὰ Φρόντωνος, τὸ ἐπιστῆσαι, οἵα ἡ τυραννικὴ βασκανία, καὶ ποικιλία, καὶ ὑπόκρισις, καὶ ὅτι ὡς ἐπίπαν οἱ καλούμενοι οὗτοι παρ' ἡμῖν εὐπατρίδαι, ἀστοργότεροί πως εἰσί.

ιβ' Παρὰ Ἀλεξάνδρου τοῦ Πλατωνικοῦ, τὸ μὴ πολλάκις, μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα, ἢ ἐν ἐπιστολῇ γράφειν, ὅτι ἄσχολός εἰμι· μηδὲ διὰ τούτου τοῦ τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα.

ιγ'. Παρὰ Κατούλου, τὸ μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου τι, κἂν τύχῃ ἀλόγως αἰτιώμενος, ἀλλὰ πειρᾶσθαι καὶ ἀποκαθιστάναι ἐπὶ τὸ σύνηθες· καὶ τὸ περὶ τῶν διδασκάλων ἐκθύμως εὔφημον, οἷα τὰ περὶ Δομιτίου καὶ Ἀθηνοδότου ἀπομνημονευόμενα· καὶ τὸ περὶ τὰ τέκνα ἀληθινῶς ἀγαπητικόν.

ιδ'. Παρὰ τοῦ ἀδελφοῦ μου Σεουήρου, τὸ φιλοίκειον, καὶ φιλάληθες, καὶ φιλοδίκαιον· καὶ τὸ δι' αὐτὸν γνῶναι Θρασέαν, Ἑλβίδιον, Κάτωνα, Δίωνα,

Βροῦτον, καὶ φαντασίαν λαβεῖν πολιτείας ἰσονόμου, κατὰ ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης, καὶ βασιλείας τιμώσης πάντων μάλιστα τὴν ἐλευθερίαν τῶν ἀρχομένων· καὶ ἔτι παρ' αὐτοῦ τὸ ὁμαλὲς καὶ ὁμότονον ἐν τῇ τιμῇ τῆς φιλοσοφίας· καὶ τὸ εὐποιητικὸν, καὶ τὸ εὐμετάδοτον ἐκτενῶς, καὶ τὸ εὔελπι, καὶ τὸ πιστευτικὸν περὶ τοῦ ὑπὸ τῶν φίλων φιλεῖσθαι· καὶ τὸ ἀνεπίκρυπτον πρὸς τοὺς καταγνώσεως ὑπ' αὐτοῦ τυγχάνοντας· καὶ τὸ μὴ δεῖσθαι στοχασμοῦ τοὺς φίλους αὐτοῦ περὶ τοῦ, τί θέλει ἢ τί οὐ θέλει, ἀλλὰ δῆλον εἶναι.

ιε'. Παρὰ Μαξίμου, τὸ κρατεῖν ἑαυτοῦ, καὶ κατὰ μηδὲν περίφορον εἶναι· καὶ τὸ εὔθυμον ἔν τε ταῖς ἄλλαις περιστάσεσι, καὶ ἐν ταῖς νόσοις· καὶ τὸ εὔκρατον τοῦ ἤθους, καὶ μειλίχιον, καὶ γεραρόν· καὶ τὸ οὐ σχετλίως κατεργαστικὸν τῶν προκειμένων· καὶ τὸ πάντας αὐτῷ πιστεύειν, περὶ ὧν λέγοι, ὅτι οὕτως φρονεῖ, καὶ περὶ ὧν πράττοι, ὅτι οὐ κακῶς πράττει· καὶ τὸ ἀθαύμαστον, καὶ ἀνέκπληκτον, καὶ μηδαμοῦ ἐπειγόμενον, ἢ ὀκνοῦν, ἢ ἀμηχανοῦν, ἢ κατηφὲς, ἢ προσσεσηρὸς, ἢ πάλιν θυμούμενον, ἢ ὑφορώμενον· καὶ τὸ εὐεργετικὸν, καὶ τὸ συγγνωμονικὸν, καὶ τὸ ἀψευδὲς, καὶ τὸ ἀδιαστρόφου μᾶλλον, ἢ διορθουμένου φαντασίαν παρέχειν· καὶ ὅτι οὔτε ᾠήθη ἄν ποτέ τις ὑπερορᾶσθαι ὑπ' αὐτοῦ, οὔτε ὑπέμεινεν ἂν κρείττονα αὐτοῦ αὑτὸν ὑπολαβεῖν· καὶ τὸ εὐχαριεντίζεσθαι.

ις'. Παρὰ τοῦ πατρὸς, τὸ ἥμερον, καὶ μενετικὸν ἀσαλεύτως ἐπὶ τῶν ἐξητασμένως κριθέντων· καὶ τὸ

ἀκενόδοξον περὶ τὰς δοκούσας τιμάς· καὶ τὸ φιλόπονον καὶ ἐνδελεχές· καὶ τὸ ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν· καὶ τὸ ἀπαρατρέπτως τοῦ κατ' ἀξίαν ἀπονεμετικὸν ἑκάστῳ· καὶ τὸ ἔμπειρον, ποῦ μὲν χρεία ἐντάσεως, ποῦ δὲ ἀνέσεως· καὶ τὸ παῦσαι τὰ περὶ τοὺς ἔρωτας τῶν μειρακίων· καὶ ἡ κοινονοημοσύνη· καὶ τὸ ἐφεῖσθαι τοῖς φίλοις μήτε συνδειπνεῖν αὐτῷ πάντως, μήτε συναποδημεῖν ἐπάναγκες· ἀεὶ δὲ ὅμοιον αὐτὸν καταλαμβάνεσθαι ὑπὸ τῶν διὰ χρείας τινὰς ἀπολειφθέντων· καὶ τὸ ζητητικὸν ἀκριβῶς ἐν τοῖς συμβουλίοις, καὶ ἐπίμονον, ἀλλ' οὐ τὸ προαπέστη τῆς ἐρεύνης, ἀρκεσθεὶς ταῖς προχείροις φαντασίαις· καὶ τὸ διατηρητικὸν τῶν φίλων, καὶ μηδαμοῦ ἁψίκορον, μηδὲ ἐπιμανές· καὶ τὸ αὔταρκες ἐν παντὶ, καὶ τὸ φαιδρόν· καὶ τὸ πόῤῥωθεν προνοητικόν, καὶ τῶν ἐλαχίστων προδιοικητικὸν ἀτραγῴδως· καὶ τὸ τὰς ἐπιβοήσεις καὶ πᾶσαν κολακείαν ἐπ' αὐτοῦ σταλῆναι· καὶ τὸ φυλακτικὸν ἀεὶ τῶν ἀναγκαίων τῇ ἀρχῇ, καὶ ταμιευτικὸν τῆς χορηγίας, καὶ ὑπομενετικὸν τῆς ἐπὶ τῶν τοιούτων τινῶν καταιτιάσεως· καὶ τὸ μήτε περὶ [τοὺς] Θεοὺς δεισιδαῖμον, μήτε περὶ ἀνθρώπους δημοκοπικόν, ἢ ἀρεσκευτικόν, ἢ ὀχλοχαρές, ἀλλὰ νῆφον ἐν πᾶσι, καὶ βέβαιον, καὶ μηδαμοῦ ἀπειρόκαλον, μηδὲ καινοτόμον. Καὶ τὸ τοῖς εἰς εὐμάρειαν βίου φέρουσί τι, ὧν ἡ τύχη παρέχει δαψίλειαν, χρηστικὸν ἀτύφως ἅμα καὶ ἀπροφασίστως, ὥστε παρόντων μὲν ἀνεπιτηδεύτως ἅπτεσθαι, ἀπόντων δὲ μὴ δεῖσθαι, καὶ τὸ μηδὲ ἄντινα εἰπεῖν, μήτε ὅτι σοφιστής, μήτε ὅτι οὐερνάκλος, μήτε

ὅτι σχολαστικὸς, ἀλλ' ὅτι ἀνὴρ πέπειρος, τέλειος, ἀκολάκευτος, προεστάναι δυνάμενος καὶ τῶν ἑαυτοῦ καὶ ἄλλων. Πρὸς τούτοις δὲ καὶ τὸ τιμητικὸν τῶν ἀληθῶς φιλοσοφούντων, τοῖς δὲ ἄλλοις οὐκ ἐξονειδιστικὸν, οὐδὲ μὴν εὐπαράγωγον ὑπ' αὐτῶν· ἔτι δὲ τὸ εὐόμιλον, καὶ εὔχαρι οὐ κατακόρως· καὶ τὸ τοῦ ἰδίου σώματος ἐπιμελητικὸν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως· ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῆς χρῄζειν, ἢ φαρμάκων καὶ ἐπιθεμάτων ἐκτός· Μάλιστα δὲ τὸ παραχωρητικὸν ἀβασκάνως τοῖς δύναμίν τινα κεκτημένοις, οἷον τὴν φραστικὴν, ἢ τὴν ἐξ ἱστορίας νόμων, ἢ ἐθῶν, ἢ ἄλλων τινῶν πραγμάτων· καὶ συσπουδαστικὸν αὐτοῖς, ἵνα ἕκαστοι κατὰ τὰ ἴδια προτερήματα εὐδοκιμῶσι· πάντα δὲ κατὰ τὰ πάτρια πράσσων, οὐδ' αὐτὸ τοῦτο ἐπιτηδεύων φαίνεσθαι, τὸ τὰ πάτρια φυλάσσειν. Ἔτι δὲ τὸ μὴ εὐμετακίνητον καὶ ῥιπταστικὸν, ἀλλὰ καὶ τόποις, καὶ πράγμασι τοῖς αὐτοῖς ἐνδιατριπτικόν· καὶ τὸ μετὰ τοὺς παροξυσμοὺς τῆς κεφαλαλγίας, νεαρὸν εὐθὺς καὶ ἀκμαῖον πρὸς τὰ συνήθη ἔργα· καὶ τὸ μὴ εἶναι αὐτῷ πολλὰ τὰ ἀπόῤῥητα, ἀλλὰ ὀλίγιστα καὶ σπανιώτατα, καὶ ταῦτα ὑπὲρ τῶν κοινῶν μόνον· καὶ τὸ ἔμφρον καὶ μεμετρημένον ἔν τε θεωριῶν ἐπιτελέσει, καὶ ἔργων κατασκευαῖς, καὶ διανομαῖς, καὶ τοῖς τοιούτοις ἀνθρώποις πρὸς αὐτὸ [δὲ] τὸ δέον πραχθῆναι δεδορκότος, οὐ πρὸς τὴν ἐπὶ τοῖς πραχθεῖσιν εὐδοξίαν· Οὐκ ἐν ἀωρεὶ λούστης, οὐχὶ φιλοικοδόμος, οὐ περὶ τὰς ἐδωδὰς ἐπινοητὴς, οὐ περὶ ἐσθήτων ὑφὰς

καὶ χρόας, οὐ περὶ σωμάτων ὥρας. Ἡ ἀπὸ Λωρίου στολὴ ἀνάγουσα ἀπὸ τῆς κάτω ἐπαύλεως, καὶ τῶν ἐν Λανουβίῳ τὰ πολλά· τῷ τελώνῃ ἐν Τούσκλοις παραιτουμένῳ ὡς ἐχρήσατο, καὶ πᾶς ὁ τοιοῦτος τρόπος. Οὐδὲν ἀπηνὲς, οὐδὲ μὴν ἀδυσώπητον, οὐδὲ λάβρον, οὐδὲ, ὡς ἄν τινα εἰπεῖν ποτε, ἕως ἱδρῶτος· ἀλλὰ πάντα διειλημμένα λελογίσθαι, ὡς ἐπὶ σχολῆς, ἀταράχως, τεταγμένως, ἐῤῥωμένως, συμφώνως ἑαυτοῖς. Ἐφαρμόσειε δ᾽ ἂν αὐτῷ τὸ περὶ τοῦ Σωκράτους μνημονευόμενον, ὅτι καὶ ἀπέχεσθαι καὶ ἀπολαύειν ἐδύνατο τούτων, ὧν πολλοὶ πρός τε τὰς ἀποχὰς ἀσθενῶς, καὶ πρὸς τὰς ἀπολαύσεις ἐνδοτικῶς ἔχουσι. Τὸ δὲ ἰσχύειν καὶ ἔτι καρτερεῖν καὶ ἐννήφειν ἑκατέρῳ, ἀνδρός ἐστιν ἄρτιον καὶ ἀήττητον ψυχὴν ἔχοντος, οἷον ἐν τῇ νόσῳ τῇ Μαξίμου.

ιζ΄. Παρὰ τῶν Θεῶν, τὸ ἀγαθοὺς πάππους, ἀγαθοὺς γονέας, ἀγαθὴν ἀδελφὴν, ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς οἰκείους, συγγενεῖς, φίλους, σχεδὸν ἅπαντας ἔχειν. Καὶ ὅτι περὶ οὐδένα αὐτῶν προέπεσον πλημμελῆσαί τι, καίτοι διάθεσιν ἔχων τοιαύτην, ἀφ᾽ ἧς, εἰ ἔτυχε, κἂν ἔπραξά τι τοιοῦτο· τῶν Θεῶν δὲ εὐποιΐα, τὸ μηδεμίαν συνδρομὴν πραγμάτων γενέσθαι, ἥτις ἔμελλέ με ἐλέγξειν. Καὶ τὸ μὴ ἐπὶ πλέον ἐκτραφῆναι παρὰ τῇ παλλακῇ τοῦ πάππου· καὶ τὸ τὴν ὥραν διασῶσαι· καὶ τὸ μὴ πρὸ ὥρας ἀνδρωθῆναι, ἀλλ᾽ ἔτι καὶ ἐπιλαβεῖν τοῦ χρόνου. Τὸ ἄρχοντι καὶ πατρὶ ὑποταχθῆναι, ὃς ἔμελλε πάντα τὸν τύφον ἀφαιρήσειν μοῦ, καὶ εἰς ἔννοιαν ἄξειν τοῦ, ὅτι δυνατόν ἐστιν, ἐν αὐλῇ βιοῦντα μήτε δορυφορή-

σεων χρήζειν, μήτε ἐσθήτων σημειωτῶν, μήτε λαμπάδων, καὶ ἀνδριάντων [τοιῶνδέ τινων], καὶ τοῦ ὁμοίου κόμπου· ἀλλ' ἔξεστιν ἐγγυτάτω ἰδιώτου συστέλλειν ἑαυτὸν, καὶ μὴ διὰ τοῦτο ταπεινότερον, ἢ ῥαθυμότερον ἔχειν πρὸς τὰ ὑπὲρ τῶν κοινῶν ἡγεμονικῶς πραχθῆναι δέοντα. Τὸ ἀδελφοῦ τοιούτου τυχεῖν, δυναμένου μὲν διὰ ἤθους ἐπεγεῖραί με πρὸς ἐπιμέλειαν ἐμαυτοῦ, ἅμα δὲ καὶ τιμῇ καὶ στοργῇ εὐφραίνοντός με· τὸ παιδία μοι ἀφυῆ μὴ γενέσθαι, μηδὲ κατὰ τὸ σωμάτιον διάστροφα· τὸ μὴ ἐπὶ πλέον με προκόψαι ἐν ῥητορικῇ, καὶ ποιητικῇ, καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἐν οἷς ἴσως ἂν κατεσχέθην, εἰ ᾐσθόμην ἐμαυτὸν εὐόδως προϊόντα. Τὸ φθάσαι τοὺς τροφέας ἐν ἀξιώματι καταστῆσαι, οὗ δὴ ἐδόκουν μοι ἐπιθυμεῖν, καὶ μὴ ἀναβαλέσθαι ἐλπίδι τοῦ με, ἐπεὶ νέοι ἔτι ἦσαν, ὕστερον αὐτὸ πράξειν. Τὸ γνῶναι Ἀπολλώνιον, Ῥούστικον, Μάξιμον. Τὸ φαντασθῆναι περὶ τοῦ κατὰ φύσιν βίου ἐναργῶς καὶ πολλάκις, οἷός τίς ἐστι· ὥστε, ὅσον ἐπὶ τοῖς Θεοῖς, καὶ ταῖς ἐκεῖθεν δόσεσι καὶ συλλήψεσι καὶ ἐπιπνοίαις, μηδὲν κωλύειν ἤδη κατὰ φύσιν ζῆν με, ἀπολείπεσθαι δὲ ἔτι τούτου παρὰ τὴν ἐμὴν αἰτίαν, καὶ παρὰ τὸ μὴ διατηρεῖν τὰς ἐκ Θεῶν ὑπομνήσεις, καὶ μονονουχὶ διδασκαλίας· τὸ ἀντισχεῖν μοι τὸ σῶμα ἐπὶ τοσοῦτον ἐν τοιούτῳ βίῳ· τὸ μήτε Βενεδίκτης ἅψασθαι, μήτε Θεοδότου, ἀλλὰ καὶ ὕστερον ἐν ἐρωτικοῖς πάθεσι γενόμενον ὑγιᾶναι· τὸ χαλεπήναντα πολλάκις Ῥουστίκῳ, μηδὲν πλέον πρᾶξαι, ἐφ' ᾧ ἂν μετέγνων· τὸ μέλλουσαν νέαν τελευτᾶν τὴν τεκοῦσαν,

ὅμως οἰκῆσαι μετ᾽ ἐμοῦ τὰ τελευταῖα ἔτη. Τὸ ὁσάκις ἐβουλήθην ἐπικουρῆσαί τινι πενομένῳ, ἢ εἰς ἄλλο τι χρήζοντι, μηδέποτε ἀκοῦσαί με, ὅτι οὐκ ἔστι μοι χρήματα, ὅθεν γένηται· καὶ τὸ αὐτῷ ἐμοὶ χρείαν ὁμοίαν, ὡς παρ᾽ ἑτέρου μεταλαβεῖν, μὴ συμπεσεῖν· τὸ τὴν γυναῖκα τοιαύτην εἶναι, οὑτωσὶ μὲν πειθήνιον, οὕτω δὲ φιλόστοργον, οὕτω δὲ ἀφελῆ· τὸ ἐπιτηδείων τροφέων εἰς τὰ παιδία εὐπορῆσαι. Τὸ δι᾽ ὀνειράτων βοηθήματα δοθῆναι, ἄλλα τε, καὶ ὡς μὴ πτύειν αἷμα καὶ μὴ ἰλιγγιᾷν, καὶ τούτου ἐν Καιήτῃ ὥσπερ χρήσῃ· ὅπως τε ἐπεθύμησα φιλοσοφίας, μὴ ἐμπεσεῖν εἴς τινα σοφιστὴν, μηδὲ ἀποκαθίσαι ἐπὶ τοὺς συγγραφεῖς, ἢ συλλογισμοὺς ἀναλύειν, ἢ περὶ τὰ μετεωρολογικὰ καταγίνεσθαι. Πάντα γὰρ ταῦτα θεῶν βοηθῶν καὶ τύχης δεῖται.

Τὰ ἐν Κουάδοις πρὸς τῷ Γρανούᾳ.

ΒΙΒΛΙΟΝ Β.

Ἕωθεν προλέγειν ἑαυτῷ· Συντεύξομαι περιέργῳ, ἀχαρίστῳ, ὑβριστῇ, δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ. Πάντα ταῦτα συμβέβηκεν ἐκείνοις παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ κακῶν. Ἐγὼ δὲ, τεθεωρηκὼς τὴν φύσιν τοῦ ἀγαθοῦ, ὅτι καλὸν, καὶ τοῦ κακοῦ, ὅτι αἰσχρὸν, καὶ τὴν αὐτοῦ τοῦ ἁμαρτάνοντος φύσιν, ὅτι μοι συγγενὴς, οὐχὶ αἵματος ἢ σπέρματος τοῦ αὐτοῦ, ἀλλὰ νοῦ, καὶ θείας ἀπομοίρας μέτοχος, οὔτε βλαβῆναι ὑπό τινος αὐτῶν δύναμαι· αἰσχρῷ γάρ με οὐδεὶς περιβάλλει· οὔτε ὀργίζεσθαι

τῷ συγγενεῖ δύναμαι, οὔτε ἀπέχθεσθαι αὐτῷ. Γεγόναμεν γὰρ πρὸς συνεργίαν, ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα, ὡς οἱ στοῖχοι τῶν ἄνω καὶ τῶν κάτω ὀδόντων. Τὸ οὖν ἀντιπράσσειν ἀλλήλοις, παρὰ φύσιν· ἀντιπρακτικὸν δὲ τὸ ἀγανακτεῖν καὶ ἀποστρέφεσθαι.

β΄. Ὅ τί ποτε τοῦτό εἰμι, σαρκία ἐστὶ καὶ πνευμάτιον, καὶ τὸ ἡγεμονικόν. Ἄφες τὰ βιβλία· μηκέτι σπῶ. Οὐ δέδοται· ἀλλ᾽ ὡς ἤδη ἀποθνήσκων, τῶν μὲν σαρκίων καταφρόνησον· λύθρος καὶ ὀστάρια, καὶ κροκύφαντος, ἐκ νεύρων, φλεβίων, ἀρτηριῶν πλεγμάτιον· Θέασαι δὲ καὶ τὸ πνεῦμα, ὁποῖόν τί ἐστιν· ἄνεμος· οὐδὲ ἀεὶ τὸ αὐτὸ, ἀλλὰ πάσης ὥρας ἐξεμούμενον, καὶ πάλιν ῥοφούμενον. Τρίτον οὖν ἐστὶ τὸ ἡγεμονικόν. ὧδε ἀπονοήθητι· γέρων εἶ· μηκέτι τοῦτο ἐάσῃς δουλεῦσαι· μηκέτι καθ᾽ ὁρμὴν ἀκοινώτητον νευροσπαστηθῆναι· μηκέτι τὸ εἱμαρμένον, ἢ παρὸν δυσχερᾶναι, ἢ μέλλον ὑποδύεσθαι.

γ΄. Τὰ τῶν Θεῶν προνοίας μεστά. Τὰ τῆς τύχης οὐκ ἄνευ φύσεως, ἢ συγκλώσεως καὶ ἐπιπλοκῆς τῶν προνοίᾳ διοικουμένων· Πάντα ἐκεῖθεν ῥεῖ· πρόσεστι δὲ τὸ ἀναγκαῖον, καὶ τῷ ὅλῳ κόσμῳ συμφέρον, οὗ μέρος εἶ. Παντὶ δὲ φύσεως μέρει ἀγαθὸν, ὃ φέρει ἡ τοῦ ὅλου φύσις, καὶ ὃ ἐκείνης ἐστὶ σωστικόν, Σώζουσι δὲ κόσμον, ὥσπερ αἱ τῶν στοιχείων, οὕτως καὶ αἱ τῶν συγκριμάτων μεταβολαί. Ταῦτά σοι ἀρκείτω, ἀεὶ δόγματα ἔστω. Τὴν δὲ βιβλίων δίψαν ῥίψον, ἵνα μὴ γογγύζων ἀποθάνῃς, ἀλλὰ ἵλεως, ἀληθῶς καὶ ἀπὸ καρδίας εὐχάριστος τοῖς θεοῖς.

δʹ. Μέμνησο, ἐκ πόσου ταῦτα ἀναβάλλῃ, καὶ ὁποσάκις προθεσμίαν λαβὼν παρὰ τῶν θεῶν, οὐ χρᾷ αὐταῖς. Δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι, τίνος κόσμου μέρος εἶ, καὶ τίνος διοικοῦντος τὸν κόσμον ἀπόῤῥοια ὑπέστης· καὶ ὅτι ὅρος ἐστί σοι περιγεγραμμένος τοῦ χρόνου, ᾧ ἐὰν εἰς τὸ ἀπαιθριάσαι μὴ χρήσῃ, οἰχήσεται, καὶ οἰχήσῃ, καὶ αὖθις οὐχ ἥξεται.

εʹ. Πάσης ὥρας φρόντιζε στιβαρῶς, ὡς Ῥωμαῖος καὶ ἄῤῥην, τὸ ἐν χερσὶ μετὰ τῆς ἀκριβοῦς καὶ ἀπλάστου σεμνότητος, καὶ φιλοστοργίας, καὶ ἐλευθερίας καὶ δικαιότητος πράσσειν· καὶ σχολὴν σαυτῷ ἀπὸ πασῶν τῶν ἄλλων φαντασιῶν πορίζειν. Ποριεῖς δὲ, ἂν, ὡς ἐσχάτην τοῦ βίου, ἑκάστην πρᾶξιν ἐνεργῇς, ἀπηλλαγμένην πάσης εἰκαιότητος, καὶ ἐμπαθοῦς ἀποστροφῆς ἀπὸ τοῦ αἱροῦντος λόγου, καὶ ὑποκρίσεως, καὶ φιλαυτίας, καὶ δυσαρεστήσεως πρὸς τὰ συμμεμοιραμένα. Ὁρᾷς, πῶς ὀλίγα ἐστὶν, ὧν κρατήσας τις δύναται εὔρουν καὶ θεουδῆ βιῶσαι βίον; καὶ γὰρ οἱ θεοὶ πλέον οὐδὲν ἀπαιτήσουσι παρὰ τοῦ ταῦτα φυλάσσοντος.

ϛʹ. Ὕβριζε, ὕβριζε αὐτὴν, ὦ ψυχή· τοῦ δὲ τιμῆσαι σεαυτὴν οὐκέτι καιρὸν ἕξεις· εὖ γὰρ ὁ βίος ἑκάστῳ. Οὗτος δέ σοι σχεδὸν διήνυσται, μὴ αἰδουμένῃ σεαυτὴν, ἀλλ᾽ ἐν ταῖς ἄλλων ψυχαῖς τιθεμένῃ τὴν σὴν εὐμοιρίαν.

ζʹ. Περισπᾷ τί σε τὰ ἔξωθεν ἐμπίπτοντα· [καὶ] σχολὴν πάρεχε σεαυτῷ τοῦ προσμανθάνειν ἀγαθόν τι, καὶ παῦσαι ῥεμβόμενος. Ἤδη δὲ καὶ τὴν ἑτέραν περιφορὰν φυλακτέον. Ληροῦσι γὰρ καὶ διὰ πρά-

ξεων οἱ κεκμηκότες ἐν τῷ βίῳ, καὶ μὴ ἔχοντες σκοπὸν, ἐφ᾽ ὃν πᾶσαν ὁρμὴν καὶ καθάπαξ φαντασίαν ἀπευθυνοῦσιν.

ή. Παρὰ μὲν τὸ μὴ ἐφιστάνειν, τί ἐν τῇ ἄλλου ψυχῇ γίγνεται, οὐ ῥᾳδίως τις ὤφθη κακοδαιμονῶν· τοὺς δὲ τοῖς τῆς ἰδίας ψυχῆς κινήμασι μὴ παρακολουθοῦντας ἀνάγκη κακοδαιμονεῖν.

θʹ. Τούτων ἀεὶ δεῖ μεμνῆσθαι, τίς ἡ τῶν ὅλων φύσις, καὶ τίς ἡ ἐμὴ, καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα, καὶ ὁποῖόν τι μέρος ὁποίου τοῦ ὅλου οὖσα, καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μέρος εἶ, πράσσειν τε ἀεὶ καὶ λέγειν.

ί. Φιλοσόφως ὁ Θεόφραστος, ἐν τῇ συγκρίσει τῶν ἁμαρτημάτων, ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκρίνειε, φησὶ, βαρύτερα εἶναι τὰ κατ᾽ ἐπιθυμίαν πλημμελούμενα τῶν κατὰ θυμόν. Ὁ γὰρ θυμούμενος μετά τινος λύπης καὶ λεληθυίας συστολῆς φαίνεται τὸν λόγον ἀποστρεφόμενος· ὁ δὲ κατ᾽ ἐπιθυμίαν ἁμαρτάνων, ὑφ᾽ ἡδονῆς ἡττώμενος, ἀκολαστότερός πως φαίνεται καὶ θηλύτερος ἐν ταῖς ἁμαρτίαις. Ὀρθῶς οὖν καὶ φιλοσοφίας ἀξίως ἔφη, μείζονος ἐγκλήματος ἔχεσθαι τὸ μεθ᾽ ἡδονῆς ἁμαρτανόμενον, ἤπερ τὸ μετὰ λύπης· ὅλως τε ὁ μὲν προηδικημένῳ μᾶλλον ἔοικε, καὶ διὰ λύπην ἠναγκασμένῳ θυμωθῆναι· ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται, φερόμενος ἐπὶ τὸ πρᾶξαί τινα κατ᾽ ἐπιθυμίαν.

ιά. Ὡς ἤδη δυνατοῦ ὄντος ἐξιέναι τοῦ βίου, οὕτως ἕκαστα ποιεῖν καὶ διανοεῖσθαι. Τὸ δὲ ἐξ ἀνθρώπων ἀπελθεῖν, εἰ μὲν θεοὶ εἰσὶν, οὐδὲν δεινόν·

κακῷ γάρ σε οὐκ ἂν περιβάλλοιεν· εἰ δὲ ἤτοι οὐκ εἰσὶν, ἢ οὐ μέλει αὐτοῖς τῶν ἀνθρωπείων, τί μοι ζῆν ἐν κόσμῳ κενῷ θεῶν, ἢ προνοίας κενῷ; Ἀλλὰ καὶ εἰσὶ, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων· καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτῷ τὸ πᾶν ἔθεντο· τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν, καὶ τοῦτο ἂν προΐδοντο, ἵνα ἐπῇ πάντη τὸ μὴ περιπίπτειν αὐτῷ. Ὃ δὲ χείρω μὴ ποιεῖ ἄνθρωπον, πῶς ἂν τοῦτο βίον ἀνθρώπου χείρω ποιήσειεν; Οὔτε δὲ κατ' ἄγνοιαν, οὔτε εἰδυῖα μὲν, μὴ δυναμένη δὲ προφυλάξασθαι ἢ διορθώσασθαι ταῦτα, ἡ τῶν ὅλων φύσις παρεῖδεν ἄν· οὔτε ἂν τηλικοῦτον ἥμαρτεν, ἤτοι παρ' ἀδυναμίαν, ἢ παρ' ἀτεχνίαν, ἵνα τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπίσης τοῖς τε ἀγαθοῖς ἀνθρώποις καὶ τοῖς κακοῖς πεφυρμένως συμβαίνῃ. Θάνατος δέ γε καὶ ζωὴ, δόξα καὶ ἀδοξία, πόνος καὶ ἡδονὴ, πλοῦτος καὶ πενία, πάντα ταῦτα ἐπίσης συμβαίνει ἀνθρώπων τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς, οὔτε καλὰ ὄντα, οὔτε αἰσχρά. Οὔτ' ἄρ' ἀγαθὰ, οὔτε κακά ἐστι.

ιβ΄. Πῶς πάντα ταχέως ἐναφανίζεται, τῷ μὲν κόσμῳ αὐτὰ τὰ σώματα, τῷ δὲ αἰῶνι αἱ μνῆμαι αὐτῶν, οἷά ἐστι τὰ αἰσθητὰ πάντα, καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα, ἢ τῷ πόνῳ φοβοῦντα, ἢ τῷ τύφῳ διαβεβοημένα· πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα, καὶ ῥυπαρὰ, καὶ εὔφθαρτα, καὶ νεκρὰ, νοερᾶς δυνάμεως ἐφιστάναι. Τί εἰσιν οὗτοι, ὧν αἱ ὑπολήψεις καὶ αἱ φωναὶ τὴν εὐδοξίαν....· Τί ἐστι τὸ ἀποθανεῖν, καὶ ὅτι, ἐάν τις αὐτὸ μόνον ἴδῃ, καὶ τῷ μερισμῷ τῆς

ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι, ἢ φύσεως ἔργον· φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστί. τοῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐστὶν, ἀλλὰ καὶ συμφέρον αὐτῇ· Πῶς ἅπτεται θεοῦ ἄνθρωπος, καὶ κατὰ τί αὑτοῦ μέρος, καὶ ὅταν πῶς ἔχῃ, διακέηται τὸ τοῦ ἀνθρώπου τοῦτο μόριον.

ιγ'. Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου, καὶ τὰ νέρθεν γᾶς (φησὶν) ἐρευνῶντος, καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθομένου δὲ, ὅτι ἀρκεῖ πρὸς μόνῳ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι, καὶ τοῦτον γνησίως θεραπεύειν. Θεραπεία δὲ αὐτοῦ, καθαρὸν πάθους διατηρεῖν, καὶ εἰκαιότητος, καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ θεῶν καὶ ἀνθρώπων γινόμενα. Τὰ μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα δι' ἀρετήν· τὰ δὲ ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν· ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ ἐλεεινὰ, δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν· οὐκ ἐλάττων ἡ πήρωσις αὕτη τῆς στερισκούσης τοῦ διακρίνειν τὰ λευκὰ καὶ μέλανα.

ιδ'. Κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλλῃς, καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι οὐδεὶς ἄλλον ἀποβάλλει βίον, ἢ τοῦτον, ὃν ζῇ· οὐδὲ ἄλλον ζῇ, ἢ ὃν ἀποβάλλει. Εἰς ταὐτὸ οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. Τὸ γὰρ παρὸν πᾶσιν ἴσον, εἰ καὶ τὸ ἀπολλύμενον οὐκ ἴσον· καὶ τὸ ἀποβαλλόμενον οὕτως ἀκαριαῖον ἀναφαίνεται. Οὔτε γὰρ τὸ παρῳχηκὸς, οὔτε τὸ μέλλον ἀποβάλλοι ἄν τις. Ὃ γὰρ οὐκ ἔχει, πῶς ἂν τοῦτό τις αὐτοῦ ἀφέλοιτο;

Τούτων οὖν τῶν δύο δεῖ μεμνῆσθαι· ἑνὸς μὲν, ὅτι πάντα ἐξ ἀϊδίου ὁμοειδῆ καὶ ἀνακυκλούμενα, καὶ οὐδὲν διαφέρει, πότερον ἐν ἑκατὸν ἔτεσιν, ἢ ἐν διακοσίοις, ἢ ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτά τις ὄψεται· ἑτέρου δὲ, ὅτι καὶ ὁ πολυχρονιώτατος, καὶ ὁ τάχιστα τεθνηξόμενος, τὸ ἴσον ἀποβάλλει. Τὸ γὰρ παρὸν ἐστὶ μόνον, οὗ στερίσκεσθαι μέλλει, εἴπερ γε ἔχει καὶ τοῦτο μόνον, καὶ, ὃ μὴ ἔχει τις, οὐκ ἀποβάλλει.

ιέ. Ὅτι πᾶν ὑπόληψις. Δῆλα μὲν γὰρ τὰ πρὸς τοῦ Κυνικοῦ Μονίμου λεγόμενα· δῆλον δὲ καὶ τὸ χρήσιμον τοῦ λεγομένου, ἐάν τις αὐτοῦ τὸ νόστιμον μέχρι τοῦ ἀληθοῦς δέχηται.

ις'. Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχὴ, μάλιστα μὲν, ὅταν ἀπόστημα καὶ οἷον φῦμα τοῦ κόσμου, ὅσον ἐφ' ἑαυτῷ, γένηται. Τὸ γὰρ δυσχεραίνειν τινὶ τῶν γινομένων, ἀπόστασίς ἐστι τῆς φύσεως, ἧς ἐν μέρει αἱ ἑκάστου τῶν λοιπῶν φύσεις περιέχονται. Ἔπειτα δὲ, ὅταν ἄνθρωπόν τινα ἀποστραφῇ, ἢ καὶ ἐναντία φέρηται, ὡς βλάψουσα, οἷαί εἰσιν αἱ τῶν ὀργιζομένων. Τρίτον ὑβρίζει ἑαυτὴν, ὅταν ἡσσᾶται ἡδονῆς ἢ πόνου. Τέταρτον, ὅταν ὑποκρίνηται, καὶ ἐπιπλάστως καὶ ἀναλήθως τι ποιῇ ἢ λέγῃ. Πέμπτον, ὅταν πρᾶξίν τινα ἑαυτῆς καὶ ὁρμὴν ἐπ' οὐδένα σκοπὸν ἀφίῃ, ἀλλὰ εἰκῇ καὶ ἀπαρακολουθήτως ὁτιοῦν ἐνεργῇ, δέον καὶ τὰ μικρότατα κατὰ τὴν ἐπὶ τὸ τέλος ἀναφορὰν γίνεσθαι· τέλος δὲ λογικῶν ζώων, τὸ ἕπεσθαι τῷ τῆς πόλεως καὶ πολιτείας τῆς πρεσβυτάτης λόγῳ καὶ θεσμῷ.

ιζ. Τοῦ ἀνθρωπίνου βίου ὁ μὲν χρόνος, στιγμή· ἡ δὲ οὐσία, ῥέουσα· ἡ δὲ αἴσθησις, ἀμυδρά· ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις, εὔσηπτος· ἡ δὲ ψυχὴ, ῥόμβος· ἡ δὲ τύχη, δυστέκμαρτον, ἡ δὲ φήμη, ἄκριτον· Συνελόντι δὲ εἰπεῖν, πάντα, τὰ μὲν τοῦ σώματος, ποταμὸς, τὰ δὲ τῆς ψυχῆς, ὄνειρος καὶ τῦφος· ὁ δὲ βίος, πόλεμος καὶ ξένου ἐπιδημία· ἡ ὑστεροφημία δὲ, λήθη. Τί οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον φιλοσοφία. Τοῦτο δὲ ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον, καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῆ ποιοῦντα, μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως, ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι, ἢ μὴ ποιῆσαι· ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον, ὡς ἐκεῖθέν ποθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν· ἐπὶ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα, ὡς οὐδὲν ἄλλο, ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῶον συγκρίνεται. Εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γάρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.

Τὰ ἐν Καρνούντῳ

ΒΙΒΛΙΟΝ Γ.

Ουχι τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκάστην ἡμέραν ἀπαναλίσκεται ὁ βίος, καὶ μέρος ἔλαττον αὐτοῦ καταλείπεται· ἀλλὰ κἀκεῖνο λογιστέον, ὅτι, εἰ ἐπὶ πλέον βιώη τις, ἐκεῖνό γε ἄδηλον, εἰ

ἐξαρκέσει ὁμοία αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων, καὶ τῆς θεωρίας τῆς συντεινούσης εἰς τὴν ἐμπειρίαν τῶν τε θείων καὶ τῶν ἀνθρωπείων. Ἐὰν γὰρ παραληρεῖν ἄρξηται, τὸ μὲν διαπνεῖσθαι, καὶ τρέφεσθαι, καὶ φαντάζεσθαι, καὶ ὁρμᾷν, καὶ ὅσα ἄλλα τοιαῦτα, οὐκ ἐνδεήσει· τὸ δὲ ἑαυτῷ χρῆσθαι, καὶ τοὺς τοῦ καθήκοντος ἀριθμοὺς ἀκριβοῦν, καὶ τὰ προφαινόμενα διαρθροῦν, καὶ περὶ αὐτοῦ τοῦ, εἰ ἤδη ἐξακτέον αὐτὸν, ἐφιστάνειν, καὶ ὅσα τοιαῦτα λογισμοῦ συγγεγυμνασμένου πάνυ χρήζει, προαποσβέννυται. Χρὴ οὖν ἐπείγεσθαι, οὐ μόνον τῷ ἐγγυτέρω τοῦ θανάτου ἑκάστοτε γίνεσθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν ἐννόησιν τῶν πραγμάτων καὶ τὴν παρακολούθησιν προαπολήγειν.

β΄. Χρὴ καὶ τὰ τοιαῦτα παραφυλάσσειν, ὅτι καὶ τὰ ἐπιγινόμενα τοῖς φύσει γινομένοις ἔχει τι εὔχαρι καὶ ἐπαγωγόν. Οἷον, ἄρτου ὀπτωμένου παραῤῥήγνυταί τινα μέρη· καὶ ταῦτα οὖν τὰ διέχοντα οὕτως, καὶ τρόπον τινὰ παρὰ τὸ ἐπάγγελμα τῆς ἀρτοποιΐας ἔχοντα, ἐπιπρέπει πως, καὶ προθυμίαν πρὸς τὴν τροφὴν ἰδίως ἀνακινεῖ. Πάλιν τε τὰ σῦκα, ὁπότε ὡραιότατά ἐστι, κέχηνε. Καὶ ἐν ταῖς δρυπέπεσιν ἐλαίαις, αὐτὸ τὸ ἐγγὺς τῇ σήψει, ἴδιόν τι κάλλος τῷ καρπῷ προστίθησιν. Οἱ στάχυες δὲ κάτω νεύοντες, καὶ τὸ τοῦ λέοντος ἐπισκύνιον, καὶ ὁ τῶν συῶν ἐκ τοῦ στόματος ῥέων ἀφρὸς, καὶ πολλὰ ἕτερα, κατ' ἰδίαν εἴ τις σκοποίη, πόῤῥω ὄντα τοῦ εὐειδοῦς, ὅμως, διὰ τὸ τοῖς φύσει γινομένοις ἐπακολουθεῖν, συνεπικοσμεῖ καὶ ψυχαγωγεῖ, ὥστε, εἴ τις ἔχοι

πάθος καὶ ἔννοιαν βαθυτέραν πρὸς τὰ ἐν τῷ ὅλῳ γινόμενα, σχεδὸν οὐδὲν οὐχὶ δόξει αὐτῷ καὶ τῶν κατ' ἐπακολούθησιν συμβαινόντων ἡδέως πως διασυνίστασθαι· Οὕτως δὲ καὶ θηρίων ἀληθῆ χάσματα οὐχ ἧσσον ἡδέως ὄψεται, ἢ ὅσα γραφεῖς καὶ πλάσται μιμούμενοι δεικνύουσιν· καὶ γραὸς καὶ γέροντος ἀκμήν τινα καὶ ὥραν, καὶ τὸ ἐν παισὶν ἐπαφρόδιτον, τοῖς ἑαυτοῦ σώφροσιν ὀφθαλμοῖς ὁρᾷν δυνήσεται· καὶ πολλὰ τοιαῦτα οὐ παντὶ πιθανά, μόνῳ δὲ τῷ πρὸς τὴν φύσιν, καὶ τὰ ταύτης ἔργα γνησίως ᾠκειωμένῳ προσπεσεῖται.

γ'. Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος, αὐτὸς νοσήσας ἀπέθανεν. Οἱ Χαλδαῖοι πολλῶν θανάτους προηγόρευσαν, εἶτα καὶ αὐτοὺς τὸ πεπρωμένον κατέλαβεν. Ἀλέξανδρος, καὶ Πομπήϊος, καὶ Γάϊος Καῖσαρ, ὅλας πόλεις ἄρδην τοσαυτάκις ἀνελόντες, καὶ ἐν παρατάξει πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες, καὶ αὐτοί ποτε ἐξῆλθον τοῦ βίου. Ἡράκλειτος, περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυσιολογήσας, ὕδατος τὰ ἐντὸς πληρωθεὶς, βολβίτῳ κατακεχρισμένος, ἀπέθανε. Δημόκριτον δὲ οἱ φθεῖρες· Σωκράτην δὲ ἄλλοι φθεῖρες ἀπέκτειναν. Τί ταῦτα; ἐνέβης, ἔπλευσας, κατήχθης· ἔκβηθι. Εἰ μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν, οὐδὲ ἐκεῖ. Εἰ δὲ ἐν ἀναισθησίᾳ, παύσῃ πόνων καὶ ἡδονῶν ἀνεχόμενος, καὶ λατρεύων τοσούτῳ χείρονι τῷ ἀγγείῳ, ἢ περίεστι τὸ ὑπηρετοῦν· τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος.

δ'. Μὴ κατατρίψῃς τὸ ὑπολιπόμενον τοῦ βίου

μέρος ἐν ταῖς περὶ ἑτέρων φαντασίαις, ὁπόταν μὴ τὴν ἀναφορὰν ἐπί τι κοινωφελὲς ποιῇ. ἤτοι γὰρ ἄλλου ἔργου στέρῃ, τουτέστι φανταζόμενος, τί ὁ δεῖνα πράσσει, καὶ τίνος ἕνεκεν, καὶ τί λέγει, καὶ τί ἐνθυμεῖται, καὶ τί τεχνάζεται, καὶ ὅσα τοιαῦτα ποιεῖ ἀποῤῥέμβεσθαι τῆς τοῦ ἰδίου ἡγεμονικοῦ παρατηρήσεως. Χρὴ μὲν οὖν καὶ τὸ εἰκῆ καὶ μάτην ἐν τῷ εἱρμῷ τῶν φαντασιῶν περιΐστασθαι, πολὺ δὲ μάλιστα τὸ περίεργον, καὶ κακόηθες· καὶ ἐθιστέον ἑαυτὸν, μόνα φαντάζεσθαι, περὶ ὧν εἴ τις ἄφνω ἐπανέροιτο, Τί νῦν διανοῇ; μετὰ παῤῥησίας παραχρῆμα ἂν ἀποκρίναιο, ὅτι τὸ καὶ τό· ὡς ἐξ αὐτῶν εὐθὺς δῆλα εἶναι, ὅτι πάντα ἁπλᾶ καὶ εὐμενῆ, καὶ ζώου κοινωνικοῦ, καὶ ἀμελοῦντος ἡδονικῶν, ἢ καθάπαξ ἀπολαυστικῶν φαντασμάτων, ἢ φιλονεικίας τινὸς, ἢ βασκανίας καὶ ὑποψίας, ἢ ἄλλου τινὸς, ἐφ᾽ ᾧ ἂν ἐρυθριάσειας ἐξηγούμενος, ὅτι ἐν νῷ αὐτὸ εἶχες. Ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος, οὐκ ἔτι ὑπερτιθέμενος τὸ ὡς ἐν ἀρίστοις ἤδη εἶναι, ἱερεύς τις καὶ ὑπουργὸς θεῶν, χρώμενος καὶ τῷ ἔνδον ἱδρυμένῳ αὐτοῦ, ὃ παρέχεται τὸν ἄνθρωπον ἄχραντον ἡδονῶν, ἄτρωτον ὑπὸ παντὸς πόνου, πάσης ὕβρεως ἀνέπαφον, πάσης ἀναίσθητον πονηρίας, ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τοῦ ὑπὸ μηδενὸς πάθους καταβληθῆναι, δικαιοσύνῃ βεβαμμένον εἰς βάθος, ἀσπαζόμενον μὲν ἐξ ὅλης τῆς ψυχῆς τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα πάντα· μὴ πολλάκις δὲ, μηδὲ χωρὶς μεγάλης καὶ κοινωφελοῦς ἀνάγκης φανταζόμενον, τί ποτε ἄλλος λέγει, ἢ πράσσει, ἢ διανοεῖται.

Μόνα γὰρ τὰ ἑαυτοῦ πρὸς ἐνέργειαν ἔχει, καὶ τὰ ἑαυτῷ ἐκ τῶν ὅλων συγκλωθόμενα διηνεκῶς ἐννοεῖ· κἀκεῖνα μὲν καλὰ παρέχεται, ταῦτα δὲ ἀγαθὰ εἶναι πέπεισται. Ἡ γὰρ ἑκάστῳ νεμομένη μοῖρα συνεμφέρεταί τε καὶ συνεμφέρει. Μέμνηται δὲ, καὶ ὅτι συγγενὲς πᾶν τὸ λογικόν· καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστί· δόξης δὲ οὐχὶ τῆς παρὰ πάντων ἀνθεκτέον, ἀλλὰ τῶν ὁμολογουμένως τῇ φύσει βιούντων μόνον. Οἱ δὲ μὴ οὕτως βιοῦντες, ὁποῖοί τινες οἴκοι τε καὶ ἔξω τῆς οἰκίας, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, οἷοι μεθ' οἵων φύρονται, μεμνημένος διατελεῖ. Οὐ τοίνυν οὐδὲ τὸν παρὰ τῶν τοιούτων ἔπαινον ἐν λόγῳ τίθεται, οἵγε οὐδὲ αὐτοὶ ἑαυτοῖς ἀρέσκονται.

ε'. Μήτε ἀκούσιος ἐνέργει, μήτε ἀκοινώνητος, μήτε ἀνεξέταστος, μήτε ἀνθελκόμενος· μήτε κομψεία τὴν διάνοιάν σου καλλωπιζέτω· μήτε πολυῤῥήμων, μήτε πολυπράγμων ἔσο. Ἔτι δὲ ὁ ἐν σοὶ θεὸς ἔστω προστάτης ζώου ἄῤῥενος, καὶ πρεσβύτου, καὶ πολιτικοῦ, καὶ Ῥωμαίου, καὶ ἄρχοντος, ἀνατεταχότος ἑαυτὸν, οἷος ἂν εἴη τις περιμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος. Ἐν δὲ τὸ φαιδρὸν καὶ τὸ ἀπροσδεὲς τῆς ἔξωθεν ὑπηρεσίας, καὶ τὸ ἀπροσδεὲς ἡσυχίας, ἣν ἄλλοι παρέχουσιν. Ὀρθὸν οὖν εἶναι χρὴ, οὐχὶ ὀρθούμενον.

ς'. Εἰ μέν τι κρεῖττον εὑρίσκεις ἐν τῷ ἀνθρωπίνῳ βίῳ δικαιοσύνης, ἀληθείας, σωφροσύνης, ἀνδρίας, καὶ καθάπαξ τοῦ ἀρκεῖσθαι ἑαυτῇ τὴν διάνοιάν σου,

ἐν οἷς κατὰ τὸν λόγον τὸν ὀρθὸν πράσσοντά σε παρέχεται, καὶ τῇ εἱμαρμένῃ, ἐν τοῖς ἀπροαιρέτως ἀπονεμομένοις· εἰ τούτου, φημί, κρεῖσσόν τι ὁρᾷς, ἐπ᾽ ἐκεῖνο ἐξ ὅλης τῆς ψυχῆς τραπόμενος, τοῦ ἀρίστου εὑρισκομένου ἀπόλαυε. Εἰ δὲ μηδὲν κρεῖττον φαίνεται αὐτοῦ τοῦ ἐνιδρυμένου ἐν σοὶ δαίμονος, τάς τε ἰδίας ὁρμὰς ὑποτεταχότος ἑαυτῷ, καὶ τὰς φαντασίας ἐξετάζοντος, καὶ τῶν αἰσθητικῶν πείσεων, ὡς ὁ Σωκράτης ἔλεγεν, ἑαυτὸν ἀφειλκυκότος, καὶ τοῖς θεοῖς ὑποτεταχότος ἑαυτὸν, καὶ τῶν ἀνθρώπων προκηδομένου· εἰ τούτου πάντα τὰ ἄλλα μικρότερα καὶ εὐτελέστερα εὑρίσκεις, μηδενὶ χώραν δίδου ἑτέρῳ, πρὸς ὃ ῥέψας ἅπαξ καὶ ἀποκλίνας, οὐκ ἔτι ἀπερισπάστως τὸ ἀγαθὸν ἐκεῖνον τὸ ἴδιον καὶ τὸ σὸν προτιμᾷν δυνήσῃ· ἀντικαθῆσθαι γὰρ τῷ λογικῷ καὶ ποιητικῷ ἀγαθῷ, οὐ θέμις, οὐδ᾽ ὁτιοῦν ἑτερογενὲς, οἷον τὸν παρὰ πολλῶν ἔπαινον, ἢ ἀρχὰς, ἢ ἀπολαύσεις ἡδονῶν. Πάντα ταῦτα, κἂν πρὸς ὀλίγον ἐναρμόζειν δόξῃ, κατεκράτησεν ἄφνω, καὶ παρήνεγκεν. Σὺ δὲ, φημὶ, ἁπλῶς καὶ ἐλευθερίως ἑλοῦ τὸ κρεῖττον, καὶ τούτου ἀντέχου. — Κρεῖττον δὲ τὸ συμφέρον. — Εἰ μὲν τὸ ὡς λογικῷ, τοῦτο τήρει· εἰ δὲ τὸ ὡς ζώῳ, ἀπόφηναι, καὶ ἀτύφως φύλασσε τὴν κρίσιν· μόνον ὅπως ἀσφαλῶς τὴν ἐξέτασιν ποιήσῃ.

ζ. Μὴ τιμήσῃς ποτὲ ὡς συμφέρον σεαυτῷ, ὃ ἀναγκάσει σέ ποτε τὴν πίστιν παραβῆναι, τὴν αἰδῶ ἐγκαταλιπεῖν, μισῆσαί τινα, ὑποπτεῦσαι, καταράσασθαι, ὑποκρίνασθαι, ἐπιθυμῆσαί τινος τοίχων καὶ παραπετασμάτων δεομένου. Ὁ γὰρ τὸν ἑαυτοῦ νοῦν

καὶ δαίμονα, καὶ τὰ ὄργια τῆς τούτου ἀρετῆς προελόμενος, τραγῳδίαν οὐ ποιεῖ, οὐ στενάζει, οὐκ ἐρημίας, οὐ πολυπληθείας δεήσεται· τὸ μέγιστον, ζήσει, μήτε διώκων, μήτε φεύγων· πότερον δὲ ἐπὶ πλέον διάστημα χρόνου τῷ σώματι περιεχομένῃ τῇ ψυχῇ, ἢ ἐπ᾽ ἔλασσον χρήσεται, οὐδ᾽ ὁτιοῦν αὐτῷ μέλει· κἂν γὰρ ἤδη ἀπαλλάσσεσθαι δέῃ, οὕτως εὐλύτως ἄπεισιν, ὡς ἄλλο τι τῶν αἰδημόνως καὶ κοσμίως ἐνεργεῖσθαι δυναμένων ἐνεργήσων. τοῦτο μόνον παρ᾽ ὅλον τὸν βίον εὐλαβούμενος, τὸ τὴν διάνοιαν ἔν τινι ἀνοικείῳ νοεροῦ πολιτικοῦ ζώου τροπῇ γενέσθαι.

η'. Οὐδὲν ἂν ἐν τῇ διανοίᾳ τοῦ κεκολασμένου καὶ ἐκκεκαθαρμένου πυῶδες, οὐδὲ μὴν μεμολυσμένον, οὐδὲ ὕπουλον εὕροις. Οὐδὲ ἀσυντελῆ τὸν βίον αὐτοῦ ἡ πεπρωμένη καταλαμβάνει, ὡς ἄν τις εἴποι τὸν τραγῳδὸν, πρὸ τοῦ τελέσαι καὶ διαδραματίσαι, ἀπαλλάσσεσθαι. Ἔτι δὲ οὐδὲν δοῦλον, οὐδὲ κομψὸν, οὐδὲ προσδεδεμένον, οὐδὲ ἀπεσχισμένον, οὐδὲ ὑπεύθυνον, οὐδὲ ἐμφωλεῦον.

θ'. Τὴν ὑποληπτικὴν δύναμιν σέβου. Ἐν ταύτῃ τὸ πᾶν, ἵνα ὑπόληψις τῷ ἡγεμονικῷ σοῦ μηκέτι ἐγγένηται ἀνακόλουθος τῇ φύσει, καὶ τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ. Αὕτη δὲ ἐπαγγέλλεται ἀπροπτωσίαν, καὶ τὴν πρὸς ἀνθρώπους οἰκείωσιν, καὶ τὴν τοῖς θεοῖς ἀκολουθίαν.

ι. Πάντα οὖν ῥίψας, ταῦτα μόνον τὰ ὀλίγα σύνεχε· καὶ ἔτι συμμνημόνευε, ὅτι μόνον ζῇ ἕκαστος τὸ παρὸν τοῦτο, τὸ ἀκαριαῖον· τὰ δὲ ἄλλα, ἢ βεβίωται, ἢ ἐν ἀδήλῳ. Μικρὸν μὲν οὖν ὃ ζῇ ἕκαστος, μι-

κρὸν δὲ τὸ τῆς γῆς γωνίδιον, ὅπου ζῇ· μικρὸν δὲ καὶ ἡ μηκίστη ὑστεροφημία, καὶ αὐτὴ δὴ κατὰ διαδοχὴν ἀνθρωπαρίων τάχιστα τεθνηξομένων, καὶ οὐκ εἰδότων οὐδὲ ἑαυτοὺς, οὔτιγε τὸν πρόπαλαι τεθνηκότα.

ιά. Τοῖς δὲ εἰρημένοις παραστήμασιν ἓν ἔτι προσέστω, τὸ ὅρον ἢ ὑπογραφὴν ἀεὶ ποιεῖσθαι τοῦ ὑποπίπτοντος φανταστοῦ, ὥστε αὐτὸ ὁποῖόν ἐστι κατ' οὐσίαν γυμνὸν, ὅλον δι' ὅλων διῃρημένως βλέπειν, καὶ τὸ ἴδιον ὄνομα αὐτοῦ, καὶ τὰ ὀνόματα ἐκείνων, ἐξ ὧν συνεκρίθη, καὶ εἰς ἃ ἀναλυθήσεται, λέγειν παρ' ἑαυτῷ. Οὐδὲν γὰρ οὕτως μεγαλοφροσύνης ποιητικὸν, ὡς τὸ ἐλέγχειν ὁδῷ καὶ ἀληθείᾳ ἕκαστον τῶν τῷ βίῳ ὑποπιπτόντων δύνασθαι καὶ τὸ ἀεὶ οὕτως εἰς αὐτὰ ὁρᾷν, ὥστε συνεπιβάλλειν, ὁποίῳ τινὶ τῷ κόσμῳ, ὁποίαν τινὰ τοῦτο χρείαν παρεχόμενον, τίνα μὲν ἔχει ἀξίαν ὡς πρὸς τὸ ὅλον, τίνα δὲ ὡς πρὸς τὸν ἄνθρωπον, πολίτην ὄντα πόλεως τῆς ἀνωτάτης, ἧς αἱ λοιπαὶ πόλεις ὥσπερ οἰκίαι εἰσίν· τί ἐστι, καὶ ἐκ τίνων συγκέκριται, καὶ πόσον χρόνον πέφυκε παραμένειν τοῦτο, τὸ τὴν φαντασίαν μοι νῦν ποιοῦν· καὶ τίνος ἀρετῆς πρὸς αὐτὸ χρεία, οἷον ἡμερότητος, ἀνδρείας, ἀληθείας, πίστεως, ἀφελείας, αὐταρκείας, τῶν λοιπῶν. Διὸ δεῖ ἐφ' ἑκάστου λέγειν, τοῦτο μὲν παρὰ θεοῦ ἥκει· τοῦτο δὲ κατὰ τὴν σύλληξιν, καὶ τὴν συμμηρυομένην σύγκλωσιν, καὶ τὴν τοιαύτην σύντευξίν τε καὶ τύχην· τοῦτο δὲ παρὰ τοῦ συμφύλου καὶ συγγενοῦς καὶ κοινωνοῦ, ἀγνοοῦντος μέντοι, ὅ τι αὐτῷ κατὰ φύσιν ἐστίν. Ἀλλ' ἐγὼ οὐκ

ἀγνοῶ· διὰ τοῦτο χρῶμαι αὐτῷ κατὰ τὸν τῆς κοινωνίας φυσικὸν νόμον εὔνως καὶ δικαίως· ἅμα μέντοι τοῦ κατ' ἀξίαν ἐν τοῖς μέσοις συστοχάζομαι.

ιβ'. Ἐὰν τὸ παρὸν ἐνεργῇς, ἑπόμενος τῷ ὀρθῷ λόγῳ ἐσπουδασμένως, ἐῤῥωμένως, εὐμενῶς, καὶ μηδὲν παρεμπόρευμα, ἀλλὰ τὸν ἑαυτοῦ δαίμονα καθαρὸν ἑστῶτα τηρῇς, ὡς εἰ καὶ ἤδη ἀποδοῦναι δέοι· ἐὰν τοῦτο συνάπτῃς, μηδὲν περιμένων, μηδὲ φεύγων, ἀλλὰ τῇ παρούσῃ κατὰ φύσιν ἐνεργείᾳ, καὶ τῇ, ὧν λέγεις καὶ φθέγγῃ, ἡρωϊκῇ ἀληθείᾳ ἀρκούμενος, εὐζωήσεις. Ἔστι δὲ οὐδεὶς ὁ τοῦτο κωλῦσαι δυνάμενος.

ιγ'. Ὥσπερ οἱ ἰατροὶ ἀεὶ τὰ ὄργανα καὶ σιδήρια πρόχειρα ἔχουσι πρὸς τὰ αἰφνίδια τῶν θεραπευμάτων· οὕτω τὰ δόγματα σὺ ἕτοιμα ἔχε πρὸς τὸ τὰ θεῖα καὶ ἀνθρώπινα εἰδέναι, καὶ πᾶν καὶ τὸ μικρότατον οὕτω ποιεῖν, ὡς τῆς ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημένον. Οὔτε γὰρ ἀνθρώπινόν τι ἄνευ τῆς ἐπὶ τὰ θεῖα συναναφορᾶς εὖ πράξεις, οὔτε ἔμπαλιν.

ιδ'. Μηκέτι πλανῶ· οὔτε γὰρ τὰ ὑπομνημάτιά σου μέλλεις ἀναγινώσκειν, οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων καὶ Ἑλλήνων πράξεις, καὶ τὰς ἐκ τῶν συγγραμμάτων ἐκλογὰς, ἃς εἰς τὸ γῆρας σαυτῷ ἀπετίθεσο· σπεῦδε οὖν εἰς τέλος, καὶ τὰς κενὰς ἐλπίδας ἀφεὶς, σαυτῷ βοήθει, εἴ τί σοι μέλει σεαυτοῦ, ἕως ἔξεστιν.

ιε. Οὐκ ἴσασι, πόσα σημαίνει τὸ κλέπτειν, τὸ σπείρειν, τὸ ὠνεῖσθαι, τὸ ἡσυχάζειν, τὸ ὁρᾷν τὰ

πρακτέα, ὃ οὐκ ὀφθαλμοῖς γίνεται, ἀλλ' ἑτέρᾳ τινὶ ὄψει.

ις'. Σῶμα, ψυχὴ, νοῦς· σώματος αἰσθήσεις, ψυχῆς ὁρμαὶ, νοῦ δόγματα. Τὸ μὲν τυποῦσθαι φανταστικῶς, καὶ τῶν βοσκημάτων· τὸ δὲ νευροσπαστεῖσθαι ὁρμητικῶς, καὶ τῶν θηρίων, καὶ τῶν ἀνδρογύνων, καὶ Φαλάριδος, καὶ Νέρωνος· τὸ δὲ τὸν νοῦν ἡγεμόνα ἔχειν ἐπὶ τὰ φαινόμενα καθήκοντα, καὶ τῶν θεοὺς μὴ νομιζόντων, καὶ τῶν τὴν πατρίδα ἐγκαταλειπόντων, καὶ τῶν ποιούντων, ἐπειδὰν κλείσωσι τὰς θύρας. Εἰ οὖν τὰ λοιπὰ κοινά ἐστι πρὸς τὰ εἰρημένα, λοιπὸν τὸ ἴδιόν ἐστι τοῦ ἀγαθοῦ φιλεῖν μὲν καὶ ἀσπάζεσθαι τὰ συμβαίνοντα, καὶ συγκλωθόμενα αὐτῷ· τὸν δὲ ἔνδον ἐν τῷ στήθει ἱδρύμενον δαίμονα μὴ φύρειν, μηδὲ θορυβεῖν ὄχλῳ φαντασιῶν, ἀλλὰ ἵλεων διατηρεῖν, κοσμίως ἑπόμενον θεῷ, μήτε φθεγγόμενόν τι παρὰ τὰ ἀληθῆ, μήτε ἐνεργοῦντα παρὰ τὰ δίκαια. Εἰ δὲ ἀπιστοῦσιν αὐτῷ πάντες ἄνθρωποι, ὅτι ἁπλῶς καὶ αἰδημόνως καὶ εὐθύμως βιοῖ, οὔτε χαλεπαίνει τινὶ τούτων, οὔτε παρατρέπεται τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὸ τέλος τοῦ βίου, ἐφ' ὃ δεῖ ἐλθεῖν καθαρὸν, ἡσύχιον, εὔλυτον, ἀβιάστως τῇ ἑαυτοῦ μοίρᾳ συνηρμοσμένον.

ΒΙΒΛΙΟΝ Δ.

Τὸ ἔνδον κυριεῦον, ὅταν κατὰ φύσιν ἔχῃ, οὕτως ἕστηκε πρὸς τὰ συμβαίνοντα, ὥστε ἀεὶ πρὸς τὸ δυνατὸν καὶ διδόμενον μετατίθεσθαι ῥᾳδίως. Ὕλην γὰρ ἀποτεταγμένην οὐδεμίαν φιλεῖ· ἀλλὰ ὁρμᾷ μὲν

πρὸς τὰ ἡγούμενα μεθ᾽ ὑπεξαιρέσεως· τὸ δὲ ἀντεισαγόμενον ὕλην ἑαυτῷ ποιεῖ· ὥσπερ τὸ πῦρ, ὅταν ἐπικρατῇ τῶν ἐπεμπιπτόντων, ὑφ᾽ ὧν ἂν μικρός τις λύχνος ἐσβέσθη· τὸ δὲ λαμπρὸν πῦρ τάχιστα ἐξῳκείωσεν ἑαυτῷ τὰ ἐπιφορούμενα, καὶ κατηνάλωσεν, καὶ ἐξ αὐτῶν ἐκείνων ἐπὶ μεῖζον ἤρθη.

β΄. Μηδὲν ἐνέργημα εἰκῆ, μηδὲ ἄλλως, ἢ κατὰ θεώρημα συμπληρωτικὸν τῆς τέχνης, ἐνεργείσθω.

γ΄. Ἀναχωρήσεις αὑτοῖς ζητοῦσιν, ἀγροικίας, καὶ αἰγιαλοὺς, καὶ ὄρη· εἴωθας δὲ καὶ σὺ τὰ τοιαῦτα μάλιστα ποθεῖν. Ὅλον δὲ τοῦτο ἰδιωτικώτατόν ἐστιν, ἐξὸν ἧς ἂν ὥρας ἐθελήσῃς εἰς ἑαυτὸν ἀναχωρεῖν. Οὐδαμοῦ γὰρ οὔτε ἡσυχιώτερον, οὔτε ἀπραγμονέστερον, ἄνθρωπος ἀναχωρεῖ, ἢ εἰς τὴν ἑαυτοῦ ψυχήν· μάλισθ᾽ ὅστις ἔχει ἔνδον τοιαῦτα, εἰς ἃ ἐγκύψας, ἐν πάσῃ εὐμαρείᾳ εὐθὺς γίνεται· τὴν δὲ εὐμάρειαν οὐδὲν ἄλλο λέγω, ἢ εὐκοσμίαν. συνεχῶς οὖν δίδου σεαυτῷ ταύτην τὴν ἀναχώρησιν, καὶ ἀνανέου σεαυτόν· βραχέα δὲ ἔστω καὶ στοιχειώδη, ἃ εὐθὺς ἀπαντήσαντα ἀρκέσει εἰς τὸ πᾶσαν αὐτὴν ἀποκλύσαι, καὶ ἀποπέμψαι σε, μὴ δυσχεραίνοντα ἐκείνοις, ἐφ᾽ ἃ ἐπανέρχῃ. Τίνι γὰρ δυσχεραίνεις; τῇ τῶν ἀνθρώπων κακίᾳ; ἀναλογισάμενος τὸ κρίμα, ὅτι τὰ λογικὰ ζῶα ἀλλήλων ἕνεκεν γέγονε, καὶ ὅτι τὸ ἀνέχεσθαι, μέρος τῆς δικαιοσύνης, καὶ ὅτι ἄκοντες ἁμαρτάνουσι, καὶ πόσοι ἤδη διεχθρεύσαντες, ὑποπτεύσαντες, μισήσαντες, διαδορατισθέντες ἐκτέτανται, τετέφρωνται, παύου ποτέ. Ἀλλὰ [καὶ] τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις δυσχεραίνεις; ἀνανεωσά-

μενος τὸ διεζευγμένον, ἤτοι πρόνοια, ἢ ἄτομοι, ἢ ἐξ ὅσων ἀπεδείχθη, ὅτι ὁ κόσμος ὡσανεὶ πόλις. Ἀλλὰ τὰ σωματικά σου ἅψεται ἔτι; ἐννοήσας, ὅτι οὐκ ἐπιμίγνυται λείως ἢ τραχέως κινουμένῳ πνεύματι ἡ διάνοια, ἐπειδὰν ἅπαξ ἑαυτὴν ἀπολάβῃ καὶ γνωρίσῃ τὴν ἰδίαν ἐξουσίαν, καὶ λοιπὸν ὅσα περὶ πόνου καὶ ἡδονῆς ἀκήκοας καὶ συγκατέθου. Ἀλλὰ τὸ δοξάριόν σε περισπάσει, ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης, καὶ τὸ χάος τοῦ ἐφ᾽ ἑκάτερα ἀπείρου αἰῶνος, καὶ τὸ κενὸν τῆς ἀπηχήσεως, καὶ τὸ εὐμετάβολον, καὶ ἄκριτον τῶν εὐφημεῖν δοκούντων, καὶ τὸ στενὸν τοῦ τόπου, ἐν ᾧ περιγράφεται. Ὅλη τε γὰρ ἡ γῆ στιγμή, καὶ ταύτης πόστον γωνίδιον ἡ κατοίκησις αὕτη; καὶ ἐνταῦθα πόσοι, καὶ οἷοί τινες οἱ ἐπαινεσόμενοι; Λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εἰς τοῦτο τὸ ἀγρίδιον ἑαυτοῦ· καὶ πρὸ παντὸς μὴ σπῶ, μηδὲ κατεντείνου, ἀλλὰ ἐλεύθερος ἔσο, καὶ ὅρα τὰ πράγματα, ὡς ἀνήρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῶον. Ἐν δὲ τοῖς προχειροτάτοις, εἰς ἃ ἐγκύψεις, ταῦτα ἔστω τὰ δύο. Ἓν μέν, ὅτι τὰ πράγματα οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ᾽ ἔξω ἕστηκεν ἀτρεμοῦντα· αἱ δὲ ὀχλήσεις ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως. Ἕτερον δέ, ὅτι πάντα ταῦτα, ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβάλλει, καὶ οὐκ ἔτι ἔσται· καὶ ὅσων ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας, συνεχῶς διανοοῦ. Ὁ κόσμος, ἀλλοίωσις· ὁ βίος, ὑπόληψις.

δ΄. Εἰ τὸ νοερὸν ἡμῖν κοινόν, καὶ ὁ λόγος, καθ᾽ ὃν λογικοὶ ἐσμέν, κοινός· εἰ τοῦτο, καὶ ὁ προστακτικὸς τῶν ποιητέων, ἢ μή, λόγος κοινός· εἰ τοῦτο,

καὶ ὁ νόμος κοινός· εἰ τοῦτο, πολῖται ἐσμέν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστί. Τίνος γὰρ ἄλλου φήσει τις τὸ τῶν ἀνθρώπων πᾶν γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δὲ, ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν· ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται, καὶ τὸ ὑγρὸν ἀφ᾽ ἑτέρου στοιχείου, καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μηδ᾽ εἰς τὸ οὐκ ὂν ἀπέρχεται), οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθέν.

έ. Ὁ θάνατος τοιοῦτος, οἷον γένεσις, φύσεως μυστήριον. σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων, *** εἰς ταὐτά. ὅλως δὲ οὐκ ἐφ᾽ ᾧ ἄν τις αἰσχυνθείη· οὐ γὰρ παρὰ τὸ ἑξῆς τῷ νοερῷ ζώῳ, οὐδὲ παρὰ τὸν λόγον τῆς παρασκευῆς.

ϛ΄. Ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι, ἐξ ἀνάγκης· ὁ δὲ τοῦτο μὴ θέλων, θέλει τὴν συκὴν ὀπὸν μὴ ἔχειν. Ὅλως δ᾽ ἐκείνου μέμνησο, ὅτι ἐντὸς ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε· μετὰ βραχὺ δὲ οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται.

ζ. Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ, Βέβλαμμαι. Ἆρον τὸ Βέβλαμμαι, ἦρται ἡ βλάβη.

ή. Ὃ χεῖρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον αὐτοῦ χείρω ποιεῖ, οὐδὲ βλάπτει, οὔτε ἔξωθεν, οὔτε ἔνδοθεν.

θ΄. Ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν.

ι. Ὅτι πᾶν τὸ συμβαῖνον, δικαίως συμβαίνει· ὅ, ἐὰν ἀκριβῶς παραφυλάσσῃς, εὑρήσεις· οὐ λέγω μόνον κατὰ τὸ ἑξῆς, ἀλλ᾽ ὅτι κατὰ τὸ δίκαιον, καὶ ὡς ἂν ὑπό τινος ἀπονέμοντος τὸ κατ᾽ ἀξίαν. Παραφύλασσε οὖν, ὡς ἤρξω· καὶ, ὅ τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τῷ ἀγαθὸς εἶναι, καθ᾽ ὃ νενόηται ἰδίως ὁ ἀγαθός. Τοῦτο ἐπὶ πάσης ἐνεργείας σῶζε.

ιά. Μὴ τοιαῦτα ὑπολάμβανε, οἷα ὁ ὑβρίζων κρίνει, ἢ οἷά σε κρίνειν βούλεται· ἀλλ᾽ ἴδε αὐτὰ, ὁποῖα κατ᾽ ἀλήθειάν ἐστι.

ιβ΄. Δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ· τὴν μὲν, πρὸς τὸ πρᾶξαι μόνον, ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ, ἐπ᾽ ὠφελείᾳ ἀνθρώπων· τὴν δὲ, πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. Τὴν μέντοι μεταγωγὴν ἀεὶ ἀπό τινος πιθανότητος, ὡς δικαίου, ἢ κοινωφελοῦς, γίνεσθαι, καὶ τὰ παραπλήσια τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ, ἢ ἔνδοξον ἐφάνη.

ιγ΄. Λόγον ἔχεις; — Ἔχω — Τί οὖν οὐ χρᾷ; τούτου γὰρ τὸ ἑαυτοῦ ποιοῦντος, τί ἄλλο θέλεις;

ιδ΄. Ἐνυπέστης, ὡς μέρος. Ἐναφανισθήσῃ τῷ γεννήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν.

ιέ. Πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ αὐτοῦ βωμοῦ· τὸ μὲν προκατέπεσεν, τὸ δὲ ὕστερον· διαφέρει δ᾽ οὐδέν.

ις΄. Ἐντὸς δέκα ἡμερῶν θεὸς αὐτοῖς δόξεις, οἷς

νῦν θηρίον καὶ πίθηκος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα, καὶ τὸν σεβασμὸν τοῦ λόγου.

ιζ. Μὴ ὡς μύρια μέλλων ἔτη ζῆν. Τὸ χρεὼν ἐπήρτηται· ἕως ζῇς, ἕως ἔξεστιν, ἀγαθὸς γένου·

ιη. Ὅσην ἀσχολίαν κερδαίνει, ὁ μὴ βλέπων, τί ὁ πλησίον εἶπεν, ἢ ἔπραξεν, ἢ διενοήθη· ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ, καὶ ὅσιον, ἢ κατὰ τὸν ἀγαθὸν μὴ μέλαν ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς τρέχειν ὀρθὸν, μὴ διεῤῥιμμένον.

ιθ'. Ὁ περὶ τὴν ὑστεροφημίαν ἐπτοημένος, οὐ φαντάζεται, ὅτι ἕκαστος τῶν μεμνημένων αὐτοῦ τάχιστα καὶ αὐτὸς ἀποθανεῖται· εἶτα πάλιν καὶ αὐτὸς ὁ ἐκεῖνον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀποσβῇ διὰ ἐπτοημένων καὶ σβεννυμένων προϊοῦσα. Ὑπόθου δ', ὅτι καὶ ἀθάνατοι μὲν οἱ μεμνησόμενοι, ἀθάνατος δ' ἡ μνήμη· τί οὖν τοῦτο πρὸς σέ; καὶ οὐδὲν λέγω, ὅτι πρὸς τὸν τεθνηκότα; ἀλλὰ πρὸς τὸν ζῶντα· τί ὁ ἔπαινος, πλὴν ἄρα δι' οἰκονομίαν τινά; πάρες γὰρ νῦν ἀκαίρως τὴν φυσικὴν δόσιν, ἄλλου τινὸς ἐχόμενον λόγου λοιπόν.

κ'. Πᾶν τὸ καὶ ὁπωσοῦν καλὸν, ἐξ ἑαυτοῦ καλόν ἐστι, καὶ ἐφ' ἑαυτὸ καταλήγει, οὐκ ἔχον μέρος ἑαυτοῦ τὸν ἔπαινον. Οὔτε γοῦν χεῖρον, ἢ κρεῖττον γίνεται τὸ ἐπαινούμενον. Τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶν λεγομένων· οἷον ἐπὶ τῶν ὑλικῶν, καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων· τό γε δὴ ὄντως καλὸν* τινὸς χρείαν ἔχει; οὐ μᾶλλον, ἢ νόμος, οὐ μᾶλλον, ἢ ἀλήθεια, οὐ μᾶλλον, ἢ εὔνοια, ἢ αἰδώς. Τί τούτων διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν, ἢ ψεγόμενον

φθείρεται; σμαράγδιον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσός, ἐλέφας, πορφύρα, λύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον;

κά. Εἰ διαμένουσιν αἱ ψυχαὶ, πῶς αὐτὰς ἐξ ἀϊδίου χωρεῖ ὁ ἀήρ; — Πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα; ὥσπερ γὰρ ἐνθάδε ἡ τούτων πρὸς ἥντινα ἐπιδιαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νεκροῖς ποιεῖ· οὕτως αἱ εἰς τὸν ἀέρα μεθιστάμεναι ψυχαὶ, ἐπὶ ποσὸν συμμείνασαι, μεταβάλλουσι καὶ χέονται καὶ ἐξάπτονται, εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι, μαὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσσυνοικιζομέναις παρέχουσι. Τοῦτο δ' ἄν τις ἀποκρίναιτο ἐφ' ὑποθέσει τοῦ τὰς ψυχὰς διαμένειν. Χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι τὸ πλῆθος τῶν θαπτομένων οὑτωσὶ σωμάτων, ἀλλὰ καὶ τὸ τῶν ἑκάστης ἡμέρας ἐσθιομένων ζώων ὑφ' ἡμῶν τε καὶ τῶν ἄλλων ζώων. Ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται, καὶ οὑτωσί πως θάπτεται, ἐν τοῖς τῶν τρεφομένων σώμασι; καὶ ὅμως δέχεται ἡ χώρα αὕτη, διὰ τὰς ἐξαιματώσεις, διὰ τὰς εἰς τὸ ἀερῶδες ἢ πυρῶδες ἀλλοιώσεις.

Τίς ἐπὶ τούτου ἡ ἱστορία τῆς ἀληθείας; διαίρεσις εἰς τὸ ὑλικὸν, καὶ εἰς τὸ αἰτιῶδες.

κβ'. Μὴ ἀποῤῥέμβεσθαι· ἀλλ' ἐπὶ πάσης ὁρμῆς τὸ δίκαιον ἀποδιδόναι, καὶ ἐπὶ πάσης φαντασίας σώζειν τὸ καταληπτικόν.

κγ'. Πᾶν μοι συναρμόζει, ὃ σοι εὐάρμοστόν ἐστιν, ὦ κόσμε. Οὐδέν μοι πρόωρον, οὐδὲ ὄψιμον, τὸ σοὶ εὔκαιρον. Πᾶν μοι καρπὸς, ὃ φέρουσιν αἱ σαὶ ὧραι,

ὦ φύσις· ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα. Ἐκεῖνος μέν φησι· Πόλι φίλη Κέκροπος· σὺ δὲ οὐκ ἐρεῖς· Ὦ πόλι φίλη Διός;

κδ'. Ὀλίγα πρῆσσε, φησὶν, εἰ μέλλεις εὐθυμήσειν· μήποτε ἄμεινον (τὸ) τἀναγκαῖα πράσσειν, καὶ ὅσα ὁ τοῦ φύσει πολιτικοῦ ζώου λόγος αἱρεῖ, καὶ ὡς αἱρεῖ. Τοῦτο γὰρ οὐ μόνον τὴν ἀπὸ τοῦ καλῶς πράσσειν εὐθυμίαν φέρει, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ ὀλίγα πράσσειν. Τὰ πλεῖστα γὰρ, ὧν λέγομεν καὶ πράσσομεν, οὐκ ἀναγκαῖα ὄντα, ἐάν τις περιέλῃ, εὐσχολώτερος καὶ ἀταρακτότερος ἔσται. Ὅθεν δεῖ καὶ παρ' ἕκαστα ἑαυτὸν ὑπομιμνήσκειν, μή τι τοῦτο οὐ τῶν ἀναγκαίων; Δεῖ δὲ μὴ μόνον πράξεις τὰς μὴ ἀναγκαίας περιαιρεῖν, ἀλλὰ καὶ φαντασίας· οὕτως γὰρ οὐδὲ πράξεις παρέλκουσαι ἐπακολουθήσουσι.

κε'. Πείρασον, πῶς σοι χωρεῖ καὶ ὁ τοῦ ἀγαθοῦ ἀνθρώπου βίος, τοῦ ἀρεσκομένου μὲν τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις, ἀρκουμένου δὲ τῇ ἰδίᾳ πράξει δικαίᾳ καὶ διαθέσει εὐμενεῖ.

κϛ'. Ἑώρακας ἐκεῖνα; ἴδε καὶ ταῦτα. Σεαυτὸν μὴ τάρασσε· ἅπλωσον σεαυτόν. Ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. Συμβέβηκέ σοί τι; καλῶς· ἐκ τῶν ὅλων ἀπ' ἀρχῆς σοι συγκαθείμαρτο, καὶ συνεκλώθετο πᾶν τὸ συμβαῖνον. Τὸ δ' ὅλον, βραχὺς ὁ βίος· κερδαντέον τὸ παρὸν σὺν εὐλογιστίᾳ καὶ δίκῃ. Νῆφε ἀνειμένος.

κζ'. Ἤτοι κόσμος διατεταγμένος, ἢ κυκεὼν, συμπεφορημένος μέν. ἀλλὰ κόσμος. Ἦ ἐν σοὶ μέν τις

κόσμος ὑφίστασθαι δύναται; ἐν δὲ τῷ παντὶ ἀκοσμία; καὶ ταῦτα οὕτως πάντων διακεκριμένων καὶ διακεχυμένων καὶ συμπαθῶν.

κη΄. Μέλαν ἦθος, θῆλυ ἦθος, περισκελὲς ἦθος, θηριῶδες, παιδαριῶδες, βοσκηματῶδες, βλακικόν, κίβδηλον, βωμολόχον, καπηλικόν, τυραννικόν.

κθ΄. Εἰ ξένος κόσμου, ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, οὐχ ἧττον ξένος, καὶ ὁ μὴ γνωρίζων τὰ γιγνόμενα. φυγάς, ὁ φεύγων τὸν πολιτικὸν λόγον· τυφλός, ὁ καταμύων τῷ νοερῷ ὄμματι: πτωχός, ὁ ἐνδεὴς ἑτέρου, καὶ μὴ πάντα ἔχων παρ᾽ ἑαυτοῦ τὰ εἰς τὸν βίον χρήσιμα. ἀπόστημα κόσμου, ὁ ἀφιστάμενος καὶ χωρίζων ἑαυτὸν τοῦ τῆς κοινῆς φύσεως λόγου, διὰ τοῦ δυσαρεστεῖν τοῖς συμβαίνουσιν· ἐκείνη γὰρ φέρει τοῦτο, ἣ καὶ σὲ ἤνεγκεν· ἀπόσχισμα πόλεως, ὁ τὴν ἰδίαν ψυχὴν τῆς τῶν λογικῶν ἀποσχίζων, μιᾶς οὔσης.

λ΄. Ὁ μὲν χωρὶς χιτῶνος φιλοσοφεῖ; ὁ δὲ χωρὶς βιβλίου· ἄλλος οὗτος ἡμίγυμνος. Ἄρτους οὐκ ἔχω, φησὶ, καὶ ἐμμένω τῷ λόγῳ. — Ἐγὼ δὲ τροφὰς τὰς ἐκ μαθημάτων οὐκ ἔχω, καὶ ἐμμένω.

λα΄. Τὸ τεχνίον, ὃ ἔμαθες, φίλει, τούτῳ προσαναπαύου· τὸ δὲ ὑπόλοιπον τοῦ βίου διέξελθε, ὡς θεοῖς μὲν ἐπιτετροφὼς τὰ σεαυτοῦ πάντα ἐξ ὅλης τῆς ψυχῆς, ἀνθρώπων δὲ μηδενὸς μήτε τύραννον μήτε δοῦλον ἑαυτὸν καθιστάς.

λβ΄. Ἐπινόησον, λόγου χάριν, τοὺς ἐπὶ Οὐεσπασιανοῦ καιρούς, ὄψει ταῦτα πάντα: γαμοῦντας,

παιδοτροφοῦντας, νοσοῦντας, ἀποθνήσκοντας, πολεμοῦντας, ἑορτάζοντας, ἐμπορευομένους, γεωργοῦντας, κολακεύοντας, αὐθαδιζομένους, ὑποπτεύοντας, ἐπιβουλεύοντας, ἀποθανεῖν τινας εὐχομένους, γογγύζοντας ἐπὶ τοῖς παροῦσιν, ἐρῶντας, θησαυρίζοντας, ὑπατείας, βασιλείας ἐπιθυμοῦντας. οὐκοῦν ἐκεῖνος μὲν ὁ τούτων βίος οὐκ ἔτι οὐδαμοῦ. Πάλιν ἐπὶ τοὺς καιροὺς τοὺς Τραϊανοῦ μετάβηθι· πάλιν τὰ αὐτὰ πάντα. τέθνηκε κἀκεῖνος ὁ βίος. Ὁμοίως καὶ τὰς ἄλλας ἐπιγραφὰς χρόνων καὶ ὅλων ἐθνῶν ἐπιθεώρει· καὶ βλέπε, πόσοι κατενταθέντες μετὰ μικρὸν ἔπεσον, καὶ ἀνελύθησαν εἰς τὰ στοιχεῖα. Μάλιστα δὲ ἀναπολητέον ἐκείνους, οὓς αὐτὸς ἔγνως κενὰ σπωμένους, ἀφέντας πρᾶξιν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν, καὶ τούτου ἀπρὶξ ἔχεσθαι, καὶ τούτῳ ἀρκεῖσθαι. Ἀναγκαῖον δὲ ὧδε τὸ μεμνῆσθαι, ὅτι καὶ ἡ ἐπιστροφὴ καθ' ἑκάστην πρᾶξιν ἰδίαν ἀξίαν ἔχει καὶ συμμετρίαν. Οὕτως γὰρ οὐκ ἀποδυσπετήσεις, ἐὰν μὴ ἐπὶ πλέον, ἢ προσῆκε, περὶ τὰ ἐλάσσω καταγίνῃ.

λγ'. Αἱ πάλαι συνήθεις λέξεις, γλωσσήματα νῦν· οὕτως οὖν καὶ τὰ ὀνόματα τῶν πάλαι πολυυμνήτων, νῦν τρόπον τινὰ γλωσσήματά ἐστι, Κάμιλλος, Καίσων, Οὐόλεσος, Λεοννάτος, μετ' ὀλίγον δὲ καὶ Σκιπίων, καὶ Κάτων, εἶτα καὶ Αὔγουστος, εἶτα καὶ Ἀδριανὸς, καὶ Ἀντωνῖνος. Ἐξίτηλα γὰρ πάντα καὶ μυθώδη ταχὺ γίνεται· ταχὺ δὲ καὶ παντελὴς λήθη κατέχωσεν. Καὶ ταῦτα λέγω ἐπὶ τῶν θαυμαστῶς πως λαμψάντων. Οἱ γὰρ λοιποὶ ἅμα τῷ ἐκπνεῦσαι, ἄϊστοι, ἄπυστοι. Τί δὲ καὶ ἔστιν ὅλως τὸ ἀείμνηστον;

ὅλον κενόν. Τί οὖν ἐστι, περὶ ὃ δεῖ σπουδὴν εἰσφέρεσθαι; ἓν τοῦτο, διάνοια δικαία, καὶ πράξεις κοινωνικαὶ, καὶ λόγος, οἷος μήποτε διαψεύσασθαι, καὶ διάθεσις ἀσπαζομένη πᾶν τὸ συμβαῖνον, ὡς ἀναγκαῖον, ὡς γνώριμον, ὡς ἀπ᾽ ἀρχῆς τοιαύτης καὶ πηγῆς ῥέον.

λδ´. Ἑκὼν σεαυτὸν τῇ Κλωθοῖ συνεπιδίδου, παρέχων συννῆσαι, οἷς τισί ποτε πράγμασι βούλεται.

λέ. Πᾶν ἐφήμερον, καὶ τὸ μνημονεῦον, καὶ τὸ μνημονευόμενον.

λς´. Θεώρει διηνεκῶς πάντα κατὰ μεταβολὴν γινόμενα καὶ ἐθίζου ἐννοεῖν, ὅτι οὐδὲν οὕτως φιλεῖ ἡ τῶν ὅλων φύσις, ὡς τὸ τὰ ὄντα μεταβάλλειν, καὶ ποιεῖν νέα ὅμοια. Σπέρμα γὰρ τρόπον τινὰ πᾶν τὸ ὂν τοῦ ἐξ αὐτοῦ ἐσομένου. Σὺ δὲ μόνα σπέρματα φαντάζῃ τὰ εἰς γῆν ἢ μήτραν καταβαλλόμενα· τοῦτο δὲ λίαν ἰδιωτικόν.

λζ´. Ἤδη τεθνήξῃ, καὶ οὔπω οὔτε ἁπλοῦς, οὔτε ἀτάραχος, οὔτε ἀνύποπτος τοῦ βλαβῆναι ἂν ἔξωθεν, οὔτε ἵλεως πρὸς πάντας, οὔτε τὸ φρονεῖν ἐν μόνῳ τῷ δικαιοπραγεῖν τιθέμενος.

λή. Τὰ ἡγεμονικὰ αὐτῶν διάβλεπε, καὶ τοὺς φρονίμους, οἷα μὲν φεύγουσιν, οἷα δὲ διώκουσιν.

λθ´. Ἐν ἀλλοτρίῳ ἡγεμονικῷ κακὸν σὸν οὐχ ὑφίσταται· οὐδὲ μὴν ἔν τινι τροπῇ καὶ ἑτεροιώσει τοῦ περιέχοντος. Ποῦ οὖν; ὅπου τὸ περὶ κακῶν ὑπολαμβάνον σοί ἐστι. Τοῦτο οὖν μὴ ὑπολαμβανέτω, καὶ πάντα εὖ ἔχει. Κἂν τὸ ἐγγυτάτω αὐτοῦ, τὸ σωμάτιον, τέμνηται, καίηται, διαπυΐσκηται, σή-

πηται, ὅμως τὸ ὑπολαμβάνον περὶ τούτων μόριον ἡσυχαζέτω· τουτέστι, κρινέτω, μήτε κακόν τι εἶναι, μήτε ἀγαθὸν, ὃ ἐπίσης δύναται κακῷ ἀνδρὶ καὶ ἀγαθῷ συμβαίνειν. Ὃ γὰρ *** καὶ τῷ κατὰ φύσιν βιοῦντι ἐπίσης συμβαίνει, τοῦτο οὔτε κατὰ φύσιν ἐστὶν, οὔτε παρὰ φύσιν.

μ΄. Ὡς ἓν ζῶον τὸν κόσμον, μίαν οὐσίαν καὶ ψυχὴν μίαν ἐπέχον, συνεχῶς ἐπινοεῖν· καὶ πῶς εἰς αἴσθησιν μίαν τὴν τούτου πάντα ἀναδίδοται· καὶ πῶς ὁρμῇ μιᾷ πάντα πράσσει· καὶ πῶς πάντα πάντων τῶν γινομένων συναίτια· καὶ οἷα τις ἡ σύννησις καὶ συμμήρυσις.

μά. Ψυχάριον εἶ, βαστάζον νεκρὸν, ὡς Ἐπίκτητος ἔλεγεν.

μβ΄ Οὐδέν ἐστι κακὸν τοῖς ἐν μεταβολῇ γινομένοις· ὡς οὐδὲ ἀγαθὸν τοῖς ἐκ μεταβολῆς ὑφισταμένοις.

μγ΄. Ποταμός τις ἐκ τῶν γινομένων καὶ ῥεῦμα βίαιον ὁ αἰών· ἅμα τε γὰρ ὤφθη ἕκαστον, καὶ παρενήνεκται, καὶ ἄλλο παραφέρεται, τὸ δὲ ἐνεχθήσεται.

μδ΄. Πᾶν τὸ συμβαῖνον οὕτως σύνηθες καὶ γνώριμον, ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι, καὶ ὀπώρα ἐν τῷ θέρει· τοιοῦτον γὰρ καὶ νόσος, καὶ θάνατος, καὶ βλασφημία, καὶ ἐπιβουλὴ, καὶ ὅσα τοὺς μωροὺς εὐφραίνει, ἢ λυπεῖ.

μέ. Τὰ ἑξῆς ἀεὶ τοῖς προηγησαμένοις οἰκείως ἐπιγίνεται· οὐ γὰρ οἷον καταρίθμησίς τίς ἐστιν ἀπηρτημένως καὶ μόνον τὸ κατηναγκασμένον ἔχουσα, ἀλλὰ συνάφεια εὔλογος· καὶ ὥσπερ συντέτακται συνηρμοσμένως τὰ ὄντα, οὕτως τὰ γινόμενα οὐ διαδο-

χὴν ψιλὴν, ἀλλὰ θαυμαστήν τινα οἰκειότητα ἐμφαίνει.

μς΄. Ἀεὶ τοῦ Ἡρακλειτείου μεμνῆσθαι· ὅτι γῆς θάνατος, ὕδωρ γενέσθαι, καὶ ὕδατος θάνατος, ἀέρα γενέσθαι, καὶ ἀέρος πῦρ, καὶ ἔμπαλιν. Μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου, ᾗ ἡ ὁδὸς ἄγει· καὶ ὅτι, ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται· καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται. καὶ, ὅτι οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν, καὶ λέγειν· καὶ γὰρ τότε δοκοῦμεν ποιεῖν καὶ λέγειν· καὶ ὅτι οὐ δεῖ παῖδας τοκέων, τοῦτ' ἔστι, κατὰ ψιλὸν, καθότι παρειλήφαμεν.

μζ΄. Ὥσπερ εἴ τις σοι θεῶν εἶπεν, ὅτι αὔριον τεθνήξῃ, ἢ πάντως γε εἰς τρίτην, οὐκ ἔτ' ἂν παρὰ μέγα ἐποιοῦ, τὸ εἰς τρίτην μᾶλλον, ἢ αὔριον, εἴ γε μὴ ἐσχάτως ἀγεννὴς εἶ· πόσον γάρ ἐστι τὸ μεταξύ; οὕτως καὶ τὸ εἰς πολλοστὸν ἔτος μᾶλλον, ἢ αὔριον, μηδὲν μέγα εἶναι νόμιζε.

μή. Ἐννοεῖν συνεχῶς, πόσοι μὲν ἰατροὶ ἀποτεθνήκασι, πολλάκις τὰς ὀφρῦς ὑπὲρ τῶν ἀῤῥώστων συσπάσαντες· πόσοι δὲ μαθηματικοὶ, ἄλλων θανάτους, ὥς τι μέγα, προειπόντες· πόσοι δὲ φιλόσοφοι, περὶ θανάτου, ἢ ἀθανασίας, μύρια διατεινάμενοι· πόσοι δὲ ἀριστεῖς, πολλοὺς ἀποκτείναντες· πόσοι δὲ τύραννοι, ἐξουσίᾳ ψυχῶν μετὰ δεινοῦ φρυάγματος ὡς ἀθάνατοι κεχρημένοι· πόσαι δὲ πόλεις ὅλαι, ἵν' οὕτως εἴπω, τεθνήκασιν, Ἑλίκη, καὶ Πομπήϊοι, καὶ Ἡρκλάνον καὶ ἄλλαι ἀναρίθμητοι. Ἔπιθι δὲ καὶ ὅσους οἶδας, ἄλλον ἐπ' ἄλλῳ· ὁ μὲν τοῦτον κηδεύ-

σας, εἶτα ἐξετάθη, ὁ δὲ ἐκεῖνον· πάντα δὲ ἐν βραχεῖ. Τὸ γὰρ ὅλον, κατιδεῖν ἀεὶ τὰ ἀνθρώπινα, ὡς ἐφήμερα καὶ εὐτελῆ· καὶ ἐχθὲς μὲν μυξάριον, αὔριον δὲ τάριχος, ἢ τέφρα. Τὸ ἀκαριαῖον οὖν τοῦτο τοῦ χρόνου κατὰ φύσιν διελθεῖν, καὶ ἵλεων καταλῦσαι, ὡς ἂν εἰ ἐλαία πέπειρος γενομένη ἔπιπτεν, εὐφημοῦσα τὴν ἐνεγκοῦσαν, καὶ χάριν εἰδυῖα τῷ φύσαντι δένδρῳ.

μθ'. Ὅμοιον εἶναι τῇ ἄκρᾳ, ᾗ διηνεκῶς τὰ κύματα προσρήσσεται· ἡ δὲ ἕστηκε, καὶ περὶ αὐτὴν κοιμίζεται τὰ φλεγμήναντα τοῦ ὕδατος. — Ἀτυχὴς ἐγὼ, ὅτι τοῦτό μοι συνέβη. — Οὐμενοῦν· Εὐτυχὴς ἐγὼ, ὅτι, τούτου μοι συμβεβηκότος, ἄλυπος διατελῶ, οὔτε ὑπὸ τοῦ παρόντος θραυόμενος, οὔτε τὸ ἐπιὸν φοβούμενος. Συμβῆναι μὲν γὰρ τὸ τοιοῦτο παντὶ ἐδύνατο· ἄλυπος δὲ οὐ πᾶς ἐπὶ τούτῳ ἂν διετέλεσε. Διὰ τί οὖν ἐκεῖνο μᾶλλον ἀτύχημα, ἢ τοῦτο εὐτύχημα; λέγεις δὲ ὅλως ἀτύχημα ἀνθρώπου, ὃ οὐκ ἔστιν ἀπότευγμα τῆς φύσεως τοῦ ἀνθρώπου; ἀπότευγμα δὲ τῆς φύσεως τοῦ ἀνθρώπου εἶναί σοι δοκεῖ, ὃ μὴ παρὰ τὸ βούλημα τῆς φύσεως αὐτοῦ ἐστι; Τί οὖν; τὸ βούλημα μεμάθηκας· μή τι οὖν τὸ συμβεβηκὸς τοῦτο κωλύσει σε δίκαιον εἶναι, μεγαλόψυχον, σώφρονα, ἔμφρονα, ἀπρόπτωτον, ἀδιάψευστον, αἰδήμονα, ἐλεύθερον, τἄλλα, ὧν παρόντων ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἀπέχει τὰ ἴδια; Μέμνησο λοιπὸν ἐπὶ παντὸς τοῦ εἰς λύπην σε προαγομένου, τούτῳ χρῆσθαι τῷ δόγματι· οὐχ ὅτι τοῦτο ἀτύχημα, ἀλλὰ τὸ φέρειν αὐτὸ γενναίως, εὐτύχημα.

ν΄. Ἰδιωτικὸν μὲν, ὅμως δὲ ἀνυστικὸν βοήθημα πρὸς θανάτου καταφρόνησιν, ἡ ἀναπόλησις τῶν γλίσχρως ἐνδιατριψάντων τῷ ζῆν. Τί οὖν αὐτοῖς πλέον, ἢ τοῖς ἀώροις; πάντως ποῦ ποτε κεῖνται, Καδικιανὸς Φάβιος, Ἰουλιανὸς, Λέπιδος, ἢ εἴ τις τοιοῦτος, οἳ πολλοὺς ἐξήνεγκαν, εἶτα ἐξηνέχθησαν· ὅλον, μικρόν ἐστι τὸ διάστημα, καὶ τοῦτο δι᾽ ὅσων, καὶ μεθ᾽ οἵων ἐξαντλούμενον, καὶ ἐν οἵῳ σωματίῳ; μὴ οὖν ὡς πρᾶγμα .... βλέπε γὰρ ὀπίσω τὸ ἀχανὲς τοῦ αἰῶνος, καὶ τὸ πρόσω ἄλλο ἄπειρον. Ἐν δὴ τούτῳ, τί διαφέρει ὁ τριήμερος τοῦ τριγερηνίου;

να΄. Ἐπὶ τὴν σύντομον ἀεὶ τρέχε· σύντομος δὲ ἡ κατὰ φύσιν· ὥστε κατὰ τὸ ὑγιέστατον πᾶν λέγειν καὶ πράσσειν. Ἀπαλλάσσει γὰρ ἡ τοιαύτη πρόθεσις κόπων, καὶ στρατείας, καὶ πάσης οἰκονομίας, καὶ κομψείας.

ΒΙΒΛΙΟΝ Ε.

Ὄρθρου, ὅταν δυσόκνως ἐξεγείρῃ, πρόχειρον ἔστω, ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι· τί οὖν δυσκολαίνω, εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν, ὧν ἕνεκεν γέγονα, καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον; ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος τοῖς στρωματίοις ἐμαυτὸν θάλπω; — Ἀλλὰ τοῦτο ἥδιον. — Πρὸς τὸ ἥδεσθαι οὖν γέγονας; ὅλως δὲ οὐ πρὸς ποιεῖν, ἢ πρὸς ἐνέργειαν; οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τοὺς μύρμηκας, τοὺς ἀράχνας, τὰς μελίσσας τὸν καθ᾽ αὑτὰς συγκοσμούσας κόσμον; ἔπειτα

σὺ οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν; οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν; — Ἀλλὰ δεῖ καὶ ἀναπαύεσθαι. — Δεῖ· ἔδωκε μέντοι καὶ τούτου μέτρα ἡ φύσις· ἔδωκε [μέντοι] καὶ τοῦ ἐσθίειν καὶ πίνειν· καὶ ὅμως σὺ ὑπὲρ τὰ μέτρα, ὑπὲρ τὰ ἀρκοῦντα προχωρεῖς· ἐν ταῖς πράξεσι δὲ οὐκ ἔτι, ἀλλ' ἐντὸς τοῦ δυνατοῦ. Οὐ γὰρ φιλεῖς σεαυτόν. ἐπεί τοι καὶ τὴν φύσιν ἂν σου, καὶ τὸ βούλημα ταύτης ἐφίλεις· Ἀλλ' οἵ γε τὰς τέχνας ἑαυτῶν φιλοῦντες, συγκατατήκονται τοῖς κατ' αὐτὰς ἔργοις, ἄλουτοι καὶ ἄσιτοι· σὺ (δὲ) τὴν φύσιν τὴν σεαυτοῦ ἔλασσον τιμᾷς, ἢ ὁ τορνευτὴς τὴν τορνευτικὴν, ἢ ὁ ὀρχηστὴς τὴν ὀρχηστικὴν, ἢ ὁ φιλάργυρος τὸ ἀργύριον, ἢ ὁ κενόδοξος τὸ δοξάριον. Καὶ οὗτοι, ὅταν προσπαθῶσιν, οὔτε φαγεῖν, οὔτε κοιμηθῆναι θέλουσι μᾶλλον, ἢ ταῦτα συναύξειν, πρὸς ἃ διαφέρονται· σοὶ δὲ αἱ κοινωνικαὶ πράξεις εὐτελέστεραι φαίνονται, καὶ ἥσσονος σπουδῆς ἄξιαι;

β΄. Ὡς εὔκολον ἀπώσασθαι καὶ ἀπαλεῖψαι πᾶσαν φαντασίαν [τὴν] ὀχληρὰν, ἢ ἀνοίκειον, καὶ εὐθὺς ἐν πάσῃ γαλήνῃ εἶναι.

γ΄. Ἄξιον ἑαυτὸν κρίνε παντὸς λόγου καὶ ἔργου τοῦ κατὰ φύσιν· καὶ μή σε παρειπάτω ἡ ἐπακολουθοῦσά τινων μέμψις, ἢ λόγος, ἀλλὰ, εἰ καλὸν πεπρᾶχθαι, ἢ εἰρῆσθαι, μὴ σεαυτὸν ἀπαξίου. Ἐκεῖνοι μὲν γὰρ ἴδιον ἡγεμονικὸν ἔχουσι, καὶ ἰδίᾳ ὁρμῇ χρῶνται· ἃ σὺ μὴ περιβλέπου, ἀλλ' εὐθεῖαν πέραινε, ἀκολουθῶν τῇ φύσει τῇ ἰδίᾳ καὶ τῇ κοινῇ· μία δὲ ἀμφοτέρων τούτων [ἡ] ὁδός.

δ΄. Πορεύομαι διὰ τῶν κατὰ φύσιν, μέχρι πεσὼν ἀναπαύσομαι, ἐναποπνεύσας μὲν τούτῳ, ἐξ οὗ καθ᾿ ἡμέραν ἀναπνέω, πεσὼν δὲ ἐπὶ τούτῳ, ἐξ οὗ καὶ τὸ σπερμάτιον ὁ πατήρ μου συνέλεξε, καὶ τὸ αἱμάτιον ἡ μήτηρ, καὶ τὸ γαλάκτιον ἡ τροφός· ἐξ οὗ καθ᾿ ἡμέραν τοσούτοις ἔτεσι βόσκομαι, καὶ ἀρδεύομαι, ὃ φέρει με πατοῦντα, καὶ εἰς τοσαῦτα ἀποχρώμενον αὐτῷ.

ε΄. Δριμύτητά σου οὐκ ἔχουσι θαυμάσαι. Ἔστω· ἀλλὰ ἕτερα πολλά, ἐφ᾿ ὧν οὐκ ἔχεις εἰπεῖν, Οὐ γὰρ πέφυκα. Ἐκεῖνα οὖν παρέχου, ἅπερ ὅλα ἐστὶν ἐπὶ σοὶ, τὸ ἀκίβδηλον, τὸ σεμνὸν, τὸ φερέπονον, τὸ ἀφιλήδονον, τὸ ἀμεμψίμοιρον, τὸ ὀλιγοδεές, τὸ εὐμενὲς, τὸ ἐλεύθερον, τὸ ἀπέριττον, τὸ ἀφλύαρον, τὸ μεγαλεῖον. Οὐκ αἰσθάνῃ, πόσα ἤδη παρέχεσθαι δυνάμενος, ἐφ᾿ ὧν οὐδεμία ἀφυΐας καὶ ἀνεπιτηδειότητος πρόφασις, ὅμως ἔτι κάτω μένεις ἑκών; ἢ καὶ γογγύζειν, καὶ γλισχρεύεσθαι, καὶ κολακεύειν, καὶ τὸ σωμάτιον καταιτιᾶσθαι, καὶ ἀρεσκεύεσθαι, καὶ περπερεύεσθαι, καὶ τοσαῦτα ῥιπτάζεσθαι τῇ ψυχῇ, διὰ τὸ ἀφυῶς κατεσκευάσθαι, ἀναγκάζῃ; Οὐ, μὰ τοὺς θεούς! Ἀλλὰ τούτων μὲν πάλαι ἀπηλλάχθαι ἐδύνασο· μόνον δὲ, εἰ ἄρα, ὡς βραδύτερος, καὶ δυσπαρακολουθητότερος καταγινώσκεσθαι· καὶ τοῦτο δὲ ἀσκητέον, μὴ παρενθυμουμένῳ, μηδὲ ἐμφιληδοῦντι τῇ νωθείᾳ.

ς΄. Ὁ μέν τις ἐστὶν, ὅταν τι δεξιὸν περί τινα πράξῃ, πρόχειρος καὶ λογίσασθαι αὐτῷ τὴν χάριν. Ὁ δὲ πρὸς τοῦτο μὲν οὐ πρόχειρος, ἄλλως μέντοι παρ᾿ ἑαυ-

τῷ, ὡς περὶ χρεώστου διανοεῖται, καὶ οἶδεν, ὃ πεποίηκεν. Ὁ δέ τις τρόπον τινὰ οὐδὲ οἶδεν, ὃ πεποίηκεν· ἀλλὰ ὅμοιός ἐστιν ἀμπέλῳ βότρυν ἐνεγκούσῃ, καὶ μηδὲν ἄλλο προσεπιζητούσῃ, μετὰ τὸ ἅπαξ τὸν ἴδιον καρπὸν ἐνηνοχέναι. Ἵππος δραμὼν, κύων ἰχνεύσας, μέλισσα μέλι ποιήσασα, ἄνθρωπος δ' εὖ ποιήσας, οὐκ ἐπιβοᾶται, ἀλλὰ μεταβαίνει ἐφ' ἕτερον, ὡς ἄμπελος ἐπὶ τὸ πάλιν ἐν τῇ ὥρᾳ τὸν βότρυν ἐνεγκεῖν. — Ἐν τούτοις οὖν δεῖ εἶναι, τοῖς τρόπον τινὰ ἀπαρακολουθήτως αὐτὸ ποιοῦσι; — Ναί. — Ἀλλ' αὐτὸ τοῦτο δεῖ παρακολουθεῖν· ἴδιον γὰρ (φησὶ) τοῦ κοινωνικοῦ, τὸ αἰσθάνεσθαι, ὅτι κοινωνικῶς ἐνεργεῖ, καὶ νὴ Δία, βούλεσθαι καὶ τὸν κοινωνὸν αἰσθέσθαι. — Ἀληθὲς μέν ἐστιν, ὃ λέγεις· τὸ δὲ νῦν λεγόμενον παρεκδέχῃ· διὰ τοῦτο ἔσῃ εἷς ἐκείνων, ὧν πρότερον ἐπεμνήσθην· καὶ γὰρ ἐκεῖνοι λογικῇ τινι πιθανότητι παράγονται. Ἐὰν δὲ θελήσῃς συνεῖναι, τί ποτέ ἐστι τὸ λεγόμενον, μὴ φοβοῦ, μὴ παρὰ τοῦτο παραλίπῃς τι ἔργον κοινωνικόν.

ζ. Εὐχὴ Ἀθηναίων, Ὗσον, ὗσον, ὦ φίλε Ζεῦ, κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν πεδίων. Ἤτοι οὐ δεῖ εὔχεσθαι, ἢ οὕτως, ἁπλῶς καὶ ἐλευθέρως.

ή. Ὁποῖόν τί ἐστι τὸ λεγόμενον, ὅτι Συνέταξεν ὁ Ἀσκληπιὸς τούτῳ ἱππασίαν, ἢ ψυχρολουσίαν, ἢ ἀνυποδησίαν· τοιοῦτόν ἐστι καὶ τὸ, Συνέταξε τούτῳ ἡ τῶν ὅλων φύσις νόσον, ἢ πήρωσιν, ἢ ἀποβολὴν, ἢ ἄλλο τι τῶν τοιούτων. Καὶ γὰρ ἐκεῖ τὸ Συνέτα-

ξε, τοιοῦτόν τι σημαίνει, ἔταξε τούτῳ τοῦτο, ὡς κατάλληλον πρὸς ὑγίειαν· καὶ ἐνταῦθα τὸ συμβαῖνον ἑκάστῳ τέτακταί πως αὐτῷ κατάλληλον πρὸς τὴν εἱμαρμένην. Οὕτως γὰρ καὶ συμβαίνειν αὐτὰ ἡμῖν λέγομεν, ὡς καὶ τοὺς τετραγώνους λίθους ἐν τοῖς τείχεσιν, ἢ ταῖς πυραμίσι, συμβαίνειν οἱ τεχνῖται λέγουσι, συναρμόζοντες ἀλλήλοις τῇ ποιᾷ συνθέσει. Ὅλως γὰρ ἁρμονία ἐστὶ μία. Καὶ ὥσπερ ἐκ πάντων τῶν σωμάτων ὁ κόσμος τοιοῦτον σῶμα συμπληροῦται, οὕτως ἐκ πάντων τῶν αἰτίων ἡ εἱμαρμένη τοιαύτη αἰτία συμπληροῦται. Νοοῦσι δὲ, ὃ λέγω, καὶ οἱ τέλεον ἰδιῶται· φασὶ γάρ, Τοῦτο ἔφερεν αὐτῷ. Οὐκοῦν τοῦτο τούτῳ ἐφέρετο, καὶ τοῦτο τούτῳ συνετάττετο. Δεχώμεθα οὖν αὐτὰ, ὡς ἐκεῖνα, ἃ ὁ Ἀσκληπιὸς συντάττει. Πολλὰ γοῦν καὶ ἐν ἐκείνοις ἐστὶ τραχέα· ἀλλὰ ἀσπαζόμεθα τῇ ἐλπίδι τῆς ὑγιείας. Τοιοῦτόν τί σοι δοκείτω, ἄνυσις καὶ συντέλεια τῶν τῇ κοινῇ φύσει δοκούντων, οἷον ἡ σὴ ὑγίεια. Καὶ οὕτως ἀσπάζου πᾶν τὸ γινόμενον, κἂν ἀπηνέστερον δοκῇ, διὰ τὸ ἐκεῖσε ἄγειν, ἐπὶ τὴν τοῦ κόσμου ὑγίειαν, καὶ τὴν τοῦ Διὸς εὐοδίαν καὶ εὐπραγίαν. Οὐ γὰρ ἂν τοῦτό τινι ἔφερεν, εἰ μὴ τῷ ὅλῳ συνέφερεν. Οὐδὲ γὰρ ἡ τυχοῦσα φύσις φέρει τι, ὃ μὴ τῷ διοικουμένῳ ὑπ' αὐτῆς κατάλληλόν ἐστι. Οὐκοῦν κατὰ δύο λόγους στέργειν χρὴ τὸ συμβαῖνόν σοι· καθ' ἕνα μὲν, ὅτι σοὶ ἐγίνετο, καὶ σοὶ συνετάττετο, καὶ πρός σέ πως εἶχεν, ἄνωθεν ἐκ τῶν πρεσβυτάτων αἰτίων συγκλωθόμενον· καθ' ἕτερον δὲ, ὅτι τῷ τὸ ὅλον διοικοῦντι τῆς εὐοδίας, καὶ τῆς συντελείας,

καὶ νὴ Δία, τῆς συμμονῆς αὐτῆς καὶ τὸ ἰδίᾳ εἰς ἕκαστον ἧκον αἴτιόν ἐστι. Πηροῦται γὰρ τὸ ὁλόκληρον, ἐὰν καὶ ὁτιοῦν διακόψῃς τῆς συναφείας καὶ συνεχείας, ὥσπερ τῶν μορίων, οὕτω δὴ καὶ τῶν αἰτίων. Διακόπτεις δὲ, ὅσον ἐπὶ σοὶ, ὅταν δυσαρεστῇς, καὶ τρόπον τινὰ ἀναιρῇς.

θ΄. Μὴ σικχαίνειν, μηδὲ ἀπαυδᾶν, μηδὲ ἀποδυσπετεῖν, εἰ μὴ καταπυκνοῦταί σοι τὸ ἀπὸ δογμάτων ὀρθῶν ἕκαστα πράσσειν· ἀλλὰ ἐκκρουσθέντα, πάλιν ἐπανιέναι, καὶ ἀσμενίζειν, εἰ τὰ πλείω ἀνθρωπικώτερα, καὶ φιλεῖν τοῦτο, ἐφ᾽ ὃ ἐπανέρχῃ· καὶ μὴ ὡς πρὸς παιδαγωγὸν τὴν φιλοσοφίαν ἐπανιέναι· ἀλλ᾽ ὡς οἱ ὀφθαλμιῶντες πρὸς τὸ σπογγάριον καὶ τὸ ᾠὸν, ὡς ἄλλος πρὸς κατάπλασμα, ὡς πρὸς καταιόνησιν. Οὕτως γὰρ οὐδὲν ἐπιδείξει τὸ πειθαρχεῖν τῷ λόγῳ, ἀλλὰ προσαναπαύσῃ αὐτῷ. Μέμνησο δὲ, ὅτι φιλοσοφία μόνα θέλει, ἃ ἡ φύσις σου θέλει· σὺ δὲ ἄλλο ἤθελες οὐ κατὰ φύσιν.— Τί γὰρ τούτων προσηνέστερον;— Ἡ γὰρ ἡδονὴ οὐχὶ διὰ τοῦτο σφάλλει; ἀλλὰ θέασαι, εἰ προσηνέστερον μεγαλοψυχία, ἐλευθερία, ἁπλότης, εὐγνωμοσύνη, ὁσιότης. Αὐτῆς γὰρ φρονήσεως τί προσηνέστερον; ὅταν τὸ ἄπταιστον, καὶ εὔρουν ἐν πᾶσι τῆς παρακολουθητικῆς καὶ ἐπιστημονικῆς δυνάμεως ἐνθυμηθῇς.

ί. Τὰ μὲν πράγματα ἐν τοιαύτῃ τρόπον τινὰ ἐγκαλύψει ἐστὶν, ὥστε φιλοσόφοις οὐκ ὀλίγοις, οὐδὲ τοῖς τυχοῦσιν, ἔδοξε παντάπασιν ἀκατάληπτα εἶναι. Πλὴν αὐτοῖς γε τοῖς Στωϊκοῖς δυσκατάληπτα δοκεῖ· καὶ πᾶσα ἡ ἡμετέρα συγκατάθεσις μεταπτωτή· ποῦ γὰρ

ὁ ἀμετάπτωτος; Μέτιθι τοίνυν ἐπ' αὐτὰ τὰ ὑποκείμενα· ὡς ὀλιγόχρονα, καὶ εὐτελῆ, καὶ δυνάμενα ἐν κτήσει κιναίδου, ἢ πόρνης, ἢ λῃστοῦ εἶναι. Μετὰ τοῦτο ἔπιθι ἐπὶ τὰ τῶν συμβιούντων ἤθη, ὧν μόλις ἐστὶ καὶ τοῦ χαριεστάτου ἀνασχέσθαι, ἵνα μὴ λέγω, ὅτι καὶ ἑαυτόν τις μόλις ὑπομένει. Ἐν τοιούτῳ οὖν ζόφῳ καὶ ῥύπῳ καὶ τοσαύτῃ ῥύσει τῆς τε οὐσίας καὶ τοῦ χρόνου, καὶ τῆς κινήσεως, καὶ τῶν κινουμένων, τί ποτ' ἐστὶ τὸ ἐκτιμηθῆναι, ἢ τὸ ὅλως σπουδασθῆναι δυνάμενον, οὐδ' ἐπινοῶ. Τοὐναντίον γὰρ δεῖ παραμυθούμενον ἑαυτὸν περιμένειν τὴν φυσικὴν λύσιν, καὶ μὴ ἀσχάλλειν τῇ διατριβῇ, ἀλλὰ τούτοις μόνοις προσαναπαύεσθαι· ἑνὶ μὲν τῷ, ὅτι οὐδὲν συμβήσεταί μοι, ὃ οὐχὶ κατὰ τὴν τῶν ὅλων φύσιν ἐστίν· ἑτέρῳ δὲ, ὅτι ἔξεστί μοι μηδὲν πράσσειν παρὰ τὸν ἐμὸν θεὸν, καὶ δαίμονα. Οὐδεὶς γὰρ ὁ ἀναγκάσων τοῦτον παραβῆναι.

ιά. Πρὸς τί ποτε ἄρα νῦν χρῶμαι τῇ ἐμαυτοῦ ψυχῇ; παρ' ἕκαστα τοῦτο ἐπανερωτᾷν ἑαυτὸν, καὶ ἐξετάζειν, τί μοί ἐστι νῦν ἐν τούτῳ τῷ μορίῳ, ὃ δὴ ἡγεμονικὸν καλοῦσι; καὶ τίνος ἄρα νῦν ἔχω ψυχήν; μήτι παιδίου; μήτι μειρακίου; μήτι γυναικαρίου; μήτι τυράννου; μήτι κτήνους; μήτι θηρίου;

ιβ'. Ὁποῖά τινά ἐστι τὰ τοῖς πολλοῖς δοκοῦντα ἀγαθὰ, καὶ ἐντεῦθεν λάβοις. Εἰ γάρ τις ἐπινοήσειεν ὑπάρχοντά τινα ὡς ἀληθῶς ἀγαθὰ, οἷον φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρίαν, οὐκ ἂν ταῦτα προεπινοήσας, ἔτι ἀκοῦσαι δυνηθείη τί· ὑπὸ τῷ ἀγαθῷ γὰρ ἐφαρμόσει. Τὰ δέ γε τοῖς πολλοῖς

φαινόμενα ἀγαθὰ προεπινοήσας τις, ἐξακούσεται, καὶ ῥᾳδίως δέξεται, ὡς οἰκείως ἐπιλεγόμενον τὸ ὑπὸ τοῦ κωμικοῦ εἰρημένον. Οὕτως καὶ οἱ πολλοὶ φαντάζονται τὴν διαφοράν. Οὐ γὰρ ἂν τοῦτο μὲν οὐ προσέκοπτε καὶ ἀπηξιοῦτο· τὸ δὲ ἐπὶ τοῦ πλούτου καὶ τῶν πρὸς τρυφὴν, ἢ δόξαν, εὐκληρημάτων παρεδεχόμεθα, ὡς ἱκνουμένως καὶ ἀστείως εἰρημένον. Πρόϊθι οὖν καὶ ἐρώτα, εἰ τιμητέον καὶ ἀγαθὰ ὑποληπτέον τὰ τοιαῦτα, ὧν προεπινοηθέντων, οἰκείως ἂν ἐπιφέροιτο, τὸ τὸν κεκτημένον αὐτὰ ὑπὸ τῆς εὐπορίας οὐκ ἔχειν, ὅποι χέσῃ.

ιγ'. Ἐξ αἰτιώδους καὶ ὑλικοῦ συνέστηκα· οὐδέτερον δὲ τούτων εἰς τὸ μὴ ὂν φθαρήσεται· ὥσπερ οὐδὲ ἐκ τοῦ μὴ ὄντος ὑπέστη. Οὐκοῦν καταταχθήσεται πᾶν μέρος ἐμὸν κατὰ μεταβολὴν εἰς μέρος τι τοῦ κόσμου· καὶ πάλιν ἐκεῖνο εἰς ἕτερον μέρος τοῦ κόσμου μεταβαλεῖ· καὶ ἤδη εἰς ἄπειρον. Κατὰ τοιαύτην δὲ μεταβολὴν κἀγὼ ὑπέστην, καὶ οἱ ἐμὲ γεννήσαντες, καὶ ἐπανιόντι εἰς ἄλλο ἄπειρον. Οὐδὲν γὰρ κωλύει οὕτως φάναι, κἂν κατὰ περιόδους πεπερασμένας ὁ κόσμος διοικῆται.

ιδ'. Ὁ λόγος καὶ ἡ λογικὴ τέχνη δυνάμεις εἰσὶν ἑαυταῖς ἀρκούμεναι, καὶ τοῖς καθ' ἑαυτὰς ἔργοις. Ὁρμῶνται μὲν οὖν ἀπὸ τῆς οἰκείας ἀρχῆς· ὁδεύουσι δὲ πρὸς τὸ προκείμενον τέλος· καθ' ὃ κατορθώσεις αἱ τοιαῦται πράξεις ὀνομάζονται, τὴν ὀρθότητα τῆς ὁδοῦ σημαίνουσαι.

ιε'. Οὐδὲν τούτων ῥητέον ἀνθρώπου, ἃ ἀνθρώπῳ, καθὸ ἄνθρωπος, οὐκ ἐπιβάλλει. Οὐκ ἔστιν

ἀπαιτήματα ἀνθρώπου, οὐδὲ ἐπαγγέλλεται αὐτὰ ἡ τοῦ ἀνθρώπου φύσις, οὐδὲ τελειότητές εἰσι τῆς τοῦ ἀνθρώπου φύσεως. Οὐ τοίνυν οὐδὲ τὸ τέλος ἐν αὐτοῖς ἐστι τῷ ἀνθρώπῳ κείμενον, οὐδὲ τὸ συμπληρωτικὸν τοῦ τέλους, τὸ ἀγαθόν. Ἔτι εἴ τι τούτων ἦι ἐπιβάλλον τῷ ἀνθρώπῳ, οὐκ ἂν τὸ ὑπερφρονεῖν αὐτῶν, καὶ κατεξανίστασθαι, ἐπιβάλλον ἦν· οὐδὲ ἐπαινετὸς ἦν, ὁ ἀπροσδεῆ τούτων ἑαυτὸν παρεχόμενος· οὐδ' ἂν ὁ ἐλαττωτικὸς ἑαυτοῦ ἔν τινι τούτων ἀγαθὸς ἦν, εἴπερ ταῦτα ἀγαθὰ ἦν. Νῦν δὲ, ὅσῳ περ πλείω τις ἀφαιρῶν ἑαυτοῦ τούτων, ἢ τοιούτων ἑτέρων, ἢ καὶ ἀφαιρούμενός τι τούτων ἀνέχηται, τοσῷδε μᾶλλόν ἀγαθός ἐστι.

ις'. Οἷα ἂν πολλάκις φαντασθῇς, τοιαύτη σοι ἔσται ἡ διάνοια· βάπτεται γὰρ ὑπὸ τῶν φαντασιῶν ἡ ψυχή. Βάπτε οὖν αὐτὴν τῇ συνεχείᾳ τῶν τοιούτων φαντασιῶν· οἷον, ὅτι ὅπου ζῆν ἐστιν, ἐκεῖ καὶ εὖ ζῆν· ἐν αὐλῇ δὲ ζῆν ἐστιν· ἔστιν ἄρα καὶ εὖ ζῆν ἐν αὐλῇ. Καὶ πάλιν, ὅτι οὗπερ ἕνεκεν ἕκαστον κατεσκευαωται, [πρὸς ὅδε κατεσκεύασται,] πρὸς τοῦτο φέρεται· πρὸς ὃ φέρεται δὲ, ἐν τούτῳ τὸ τέλος αὐτοῦ· ὅπου δὲ τὸ τέλος, ἐκεῖ καὶ τὸ συμφέρον καὶ τἀγαθὸν ἑκάστου· τὸ ἄρα ἀγαθὸν τοῦ λογικοῦ ζώου, κοινωνία. Ὅτι γὰρ πρὸς κοινωνίαν γεγόναμεν, πάλαι δέδεικται. Ἢ οὐκ ἦν ἐναργὲς, ὅτι τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ κρείττω ἀλλήλων; κρείττω δὲ τῶν μὲν ἀψύχων τὰ ἔμψυχα· τῶν δὲ ἐμψύχων τὰ λογικά.

ιζ'. Τὸ τὰ ἀδύνατα διώκειν, μανικόν· ἀδύνατον δέ, τὸ τοὺς φαύλους μὴ τοιαῦτά τινα ποιεῖν.

ιή. Οὐδὲν οὐδενὶ συμβαίνει, ὃ οὐχὶ πέφυκε φέρειν. Ἄλλῳ τὰ αὐτὰ συμβαίνει, καὶ ἤτοι ἀγνοῶν, ὅτι συμβέβηκεν, ἢ ἐπιδεικνύμενος μεγαλοφροσύνην, εὐσταθεῖ, καὶ ἀκάκωτος μένει. Δεινὸν οὖν, ἄγνοιαν καὶ ἀρέσκειαν ἰσχυροτέρας εἶναι φρονήσεως.

ιθ'. Τὰ πράγματα αὐτὰ οὐδ' ὁπωστιοῦν ψυχῆς ἅπτεται· οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχήν· οὐδὲ τρέψαι, οὐδὲ κινῆσαι ψυχὴν δύναται· τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη· καὶ οἵων ἂν κριμάτων καταξιώσῃ ἑαυτήν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προσυφεστῶτα.

κ'. Καθ' ἕτερον μὲν λόγον ἡμῖν ἐστιν οἰκειότατον ἄνθρωπος, καθ' ὅσον εὖ ποιητέον αὐτοὺς καὶ ἀνεκτέον· καθ' ὅσον δὲ ἐνίστανταί τινες εἰς τὰ οἰκεῖα ἔργα, ἕν τι τῶν ἀδιαφόρων μοι γίνεται ὁ ἄνθρωπος, οὐχ ἧσσον ἢ ἥλιος, ἢ ἄνεμος, ἢ θηρίον. Ὑπὸ τούτων δὲ ἐνέργεια μέν τις ἐμποδισθείη ἄν· ὁρμῆς δὲ καὶ διαθέσεως οὐ γίνεται ἐμπόδια, διὰ τὴν ὑπεξαίρεσιν, καὶ τὴν περιτροπήν. Περιτρέπει γὰρ καὶ μεθίστησι πᾶν τὸ τῆς ἐνεργείας κώλυμα ἡ διάνοια εἰς τὸ προηγούμενον· καὶ πρὸ ἔργου γίνεται τὸ τοῦ ἔργου τούτου ἐφεκτικόν· καὶ πρὸ ὁδοῦ, τὸ τῆς ὁδοῦ ταύτης ἐνστατικόν.

κά. Τῶν ἐν τῷ κόσμῳ τὸ κράτιστον τίμα· ἔστι δὲ τοῦτο τὸ πᾶσι χρώμενον, καὶ πάντα διέπον. Ὁμοίως δὲ καὶ τῶν ἐν σοὶ τὸ κράτιστον τίμα· ἔστι δὲ τοῦτο, τὸ ἐκείνῳ ὁμογενές. Καὶ γὰρ ἐπὶ σοῦ τὸ τοῖς ἄλλοις

γρώμενον, τοῦτό ἐστι, καὶ ὁ σὸς βίος ὑπὸ τούτου διοικεῖται.

κβ΄. Ὃ τῇ πόλει οὐκ ἔστι βλαβερὸν, οὐδὲ τὸν πολίτην βλάπτει. Ἐπὶ πάσης τῆς τοῦ βεβλάφθαι φαντασίας τοῦτον ἔπαγε τὸν κανόνα· εἰ ἡ πόλις ὑπὸ τούτου μὴ βλάπτεται, οὐδὲ ἐγὼ βέβλαμμαι· εἰ δὲ ἡ πόλις βλάπτεται, οὐκ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν· τί τὸ παρορώμενον;

κγ΄. Πολλάκις ἐνθυμοῦ τὸ τάχος τῆς παραφορᾶς καὶ ὑπεξαγωγῆς τῶν ὄντων καὶ γινομένων. Ἥ τε γὰρ οὐσία οἷον ποταμὸς ἐν διηνεκεῖ ῥύσει· καὶ αἱ ἐνέργειαι ἐν συνεχέσι μεταβολαῖς, καὶ τὰ αἴτια ἐν μυρίαις τροπαῖς· καὶ σχεδὸν οὐδὲν ἑστὼς, καὶ τὸ πάρεγγυς· τὸ δὲ ἄπειρον τοῦ τε παρῳχηκότος καὶ μέλλοντος ἀχανὲς, ᾧ πάντα ἐναφανίζεται. Πῶς οὖν οὐ μωρὸς ὁ ἐν τούτοις φυσώμενος, ἢ σπώμενος, ἢ σχετλιάζων, ὡς ἔν τινι χρόνῳ καὶ ἐπὶ μικρὸν ἐνοχλήσαντι;

κδ΄. Μέμνησο τῆς συμπάσης οὐσίας, ἧς ὀλίγιστον μετέχεις· καὶ τοῦ σύμπαντος αἰῶνος, οὗ βραχὺ καὶ ἀκαριαῖόν σοι διάστημα ἀφώρισται· καὶ τῆς εἱμαρμένης, ἧς ποστὸν εἶ μέρος;

κε΄. Ἄλλος ἁμαρτάνει τι εἰς ἐμέ; ὄψεται· ἰδίαν ἔχει διάθεσιν, ἰδίαν ἐνέργειαν. Ἐγὼ νῦν ἔχω, ὅ με θέλει νῦν ἔχειν ἡ κοινὴ φύσις, καὶ πράσσω, ὅ με νῦν πράσσειν θέλει ἡ ἐμὴ φύσις.

κϛ΄. Τὸ ἡγεμονικὸν καὶ κυριεῦον τῆς ψυχῆς σου μέρος ἄτρεπτον ἔστω ὑπὸ τῆς ἐν τῇ σαρκὶ λείας ἢ τραχείας κινήσεως· καὶ μὴ συγκρινέσθω, ἀλλὰ περιγραφέτω ἑαυτὸ καὶ περιοριζέτω τὰς πείσεις ἐκείνας

ἐν τοῖς μορίοις. Ὅταν δὲ ἀναδιδῶνται κατὰ τὴν ἑτέραν συμπάθειαν εἰς τὴν διάνοιαν, ὡς ἐν σώματι ἡνωμένῳ, τότε πρὸς μὲν τὴν αἴσθησιν, φυσικὴν οὖσαν, οὐ πειρατέον ἀντιβαίνειν· τὴν δὲ ὑπόληψιν, τὴν ὡς περὶ ἀγαθοῦ, ἢ κακοῦ, μὴ προστιθέτω τὸ ἡγεμονικὸν ἐξ ἑαυτοῦ.

κζ'. Συζῆν θεοῖς. Συζῇ δὲ θεοῖς ὁ συνεχῶς δεικνὺς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀπονεμομένοις, ποιοῦσαν δὲ, ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ. Οὗτος δέ ἐστιν, ὁ ἑκάστου νοῦς καὶ λόγος.

κη'. Τῷ γράσωνι μήτι ὀργίζῃ; μήτι τῷ ὀζοστόμῳ ὀργίζῃ; Τί σοι ποιήσει; τοιοῦτον στόμα ἔχει, τοιαύτας μάλας ἔχει· ἀνάγκη τοιαύτην ἀποφορὰν ἀπὸ τοιούτων γίνεσθαι.— Ἀλλ' ὁ ἄνθρωπος λόγον ἔχει (φησὶ), καὶ δύναται συννοεῖν ἐφιστάνων, τί πλημμελεῖ.— Εὖ σοι γένοιτο! τοιγαροῦν καὶ σὺ λόγον ἔχεις, κίνησον λογικῇ διαθέσει λογικὴν διάθεσιν· δεῖξον, ὑπόμνησον. Εἰ γὰρ ἐπαΐει, θεραπεύσεις, καὶ οὐ χρεία ὀργῆς. Οὔτε τραγῳδὸς, οὔτε πόρνη.

κθ'. Ὡς ἐξελθὼν ζῆν διανοῇ, οὕτως ἐνταῦθα ζῆν ἔξεστιν. Ἐὰν δὲ μὴ ἐπιτρέπωσι, τότε καὶ τοῦ ζῆν ἔξιθι· οὕτως μέντοι, ὡς μηδὲν κακὸν πάσχων. Καπνὸς, καὶ ἀπέρχομαι. τί αὐτὸ πρᾶγμα δοκεῖς; μέχρι δέ με τοιοῦτον οὐδὲν ἐξάγει, μένω ἐλεύθερος, καὶ οὐδείς με κωλύσει ποιεῖν, ἃ θέλω· θέλω δὲ κατὰ φύσιν τοῦ λογικοῦ καὶ κοινωνικοῦ ζώου.

λ'. Ὁ τοῦ ὅλου νοῦς κοινωνικός. Πεποίηκε γοῦν τὰ χείρω τῶν κρειττόνων ἕνεκεν· καὶ τὰ κρείττω ἀλλήλοις συνήρμοσεν. Ὁρᾷς, πῶς ὑπέταξε, συνέταξε, καὶ τὸ κατ' ἀξίαν ἀπένειμεν ἑκάστοις, καὶ τὰ κρατιστεύοντα εἰς ὁμόνοιαν ἀλλήλων συνήγαγε.

λα'. Πῶς προσενήνεξαι μέχρι νῦν θεοῖς, γονεῦσιν, ἀδελφοῖς, γυναικὶ, τέκνοις, διδασκάλοις, τροφεῦσι, φίλοις, οἰκείοις, οἰκέταις; εἰ πρὸς πάντας σοι μέχρι νῦν ἐστι τὸ,

Μήτε τινὰ ῥέξαι ἐξαίσιον, μήτε εἰπεῖν.

Ἀναμιμνήσκου δὲ, καὶ δι' οἵων διελήλυθας, καὶ οἷα ἤρκεσας ὑπομεῖναι. Καὶ ὅτι πλήρης ἤδη σοι ἡ ἱστορία τοῦ βίου καὶ τελεία ἡ λειτουργία· καὶ πόσα ὦπται καλά· καὶ πόσων μὲν ἡδονῶν καὶ πόνων ὑπερεῖδες· πόσα δὲ ἔνδοξα παρεῖδες· εἰς ὅσους δὲ ἀγνώμονας εὐγνώμων ἐγένου.

λβ'. Διὰ τί συγχέουσιν ἄτεχνοι καὶ ἀμαθεῖς ψυχαὶ ἔντεχνον καὶ ἐπιστήμονα; Τίς οὖν ψυχὴ ἔντεχνος καὶ ἐπιστήμων; ἡ εἰδυῖα ἀρχὴν καὶ τέλος, καὶ τὸν διὰ τῆς οὐσίας διήκοντα λόγον, καὶ διὰ παντὸς τοῦ αἰῶνος κατὰ περιόδους τεταγμένας οἰκονομοῦντα τὸ πᾶν.

λγ'. Ὅσον οὐδέπω σποδὸς, ἢ σκελετὸς, καὶ ἤτοι ὄνομα, ἢ οὐδὲ ὄνομα· τὸ δὲ ὄνομα, ψόφος καὶ ἀπήχημα. Τὰ δὲ ἐν τῷ βίῳ πολυτίμητα, κενὰ, καὶ σαπρὰ, καὶ μικρὰ, καὶ κυνίδια διαδακνόμενα, καὶ παιδία φιλόνεικα, γελῶντα, εἶτα εὐθὺς κλαίοντα. Πίστις δὲ καὶ αἰδὼς, καὶ δίκη καὶ ἀλήθεια,

πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης.

Τί οὖν ἔτι τὸ ἐνταῦθα κατέχον; εἴγε τὰ μὲν αἰσθητὰ εὐμετάβλητα, καὶ οὐχ ἑστῶτα· τὰ δὲ αἰσθητήρια ἀμυδρὰ καὶ εὐπαρατύπωτα· αὐτὸ δὲ τὸ ψυχάριον ἀναθυμίασις ἀφ' αἵματος. τὸ δὲ εὐδοκιμεῖν παρὰ τοιούτοις κενόν. Τί οὖν; περιμένεις ἵλεως τὴν εἴτε σβέσιν, εἴτε μετάστασιν· Ἕως δὲ ἐκείνης ὁ καιρὸς ἐφίσταται, τί ἀρκεῖ; τί δ' ἄλλο, ἢ θεοὺς μὲν σέβειν καὶ εὐφημεῖν, ἀνθρώπους δὲ εὖ ποιεῖν, καὶ ἀνέχεσθαι αὐτῶν καὶ ἀπέχεσθαι· ὅσα δὲ ἐκτὸς ὅρων τοῦ κρεαδίου, καὶ τοῦ πνευματίου, ταῦτα μεμνῆσθαι μήτε σὰ ὄντα, μήτε ἐπὶ σοί.

λδ'. Δύνασαι ἀεὶ εὐροεῖν, εἴγε καὶ ὁδεύειν, εἴγε καὶ ὁδῷ ὑπολαμβάνειν, καὶ πράσσειν. Δύο ταῦτα κοινὰ τῇ τε τοῦ θεοῦ, καὶ τῇ τοῦ ἀνθρώπου, καὶ παντὸς λογικοῦ ζώου ψυχῇ· τὸ μὴ ἐμποδίζεσθαι ὑπ' ἄλλου· καὶ τὸ ἐν τῇ δικαϊκῇ διαθέσει καὶ πράξει ἔχειν τὸ ἀγαθὸν, καὶ ἐνταῦθα τὴν ὄρεξιν ἀπολήγειν.

λε'. Εἰ μήτε κακία ἐστὶ τοῦτο ἐμὴ, μήτε ἐνέργεια κατὰ κακίαν ἐμὴν, μήτε τὸ κοινὸν βλάπτεται, τί ὑπὲρ αὐτοῦ διαφέρομαι; τίς δὲ βλάβη τοῦ κοινοῦ;

λς'. Μὴ ὁλοσχερῶς τῇ φαντασίᾳ συναρπάζεσθαι· ἀλλὰ βοηθεῖν μὲν κατὰ δύναμιν καὶ κατ' ἀξίαν· κἂν εἰς τὰ μέσα ἐλαττῶνται, μὴ μέντοι βλάβην αὐτὸ φαντάζεσθαι. Κακὸν γὰρ ἔθος. Ἀλλ' ὡς ὁ γέρων ἀπελθὼν τὸν τοῦ θρεπτοῦ ῥόμβον ἀπῄτει, μεμνημένος, ὅτι ῥόμβος· οὕτως οὖν καὶ ὧδε. Ἐπεί τοι γίνῃ καλῶν ἐπὶ τῶν ἐμβόλων. Ἄνθρωπε, ἐπελάθου, τί ταῦτα ἦν; — Ναί· ἀλλὰ τούτοις περισπούδαστα. — Διὰ τοῦτ' οὖν καὶ σὺ μωρὸς γένῃ; — ἐγενό-

μήποτε ὁποὐδήποτε καταλειφθεὶς, εὔμοιρος ἄνθρωπος· — τὸ δὲ εὔμοιρος ἀγαθὴν μοῖραν σεαυτῷ ἀπονείμας· ἀγαθαὶ δὲ μοῖραι, ἀγαθαὶ τροπαὶ ψυχῆς, ἀγαθαὶ ὁρμαὶ, ἀγαθαὶ πράξεις.

ΒΙΒΛΙΟΝ ϛ.

Ἡ τῶν ὅλων οὐσία εὐπειθὴς καὶ εὐτρεπής· ὁ δὲ ταύτην διοικῶν λόγος οὐδεμίαν ἐν ἑαυτῷ αἰτίαν ἔχει τοῦ κακοποιεῖν· κακίαν γὰρ οὐκ ἔχει, οὐδέ τι κακῶς ποιεῖ, οὐδὲ βλάπτεταί τι ὑπ᾽ ἐκείνου. Πάντα δὲ κατ᾽ ἐκεῖνον γίνεται καὶ περαίνεται.

β΄. Μὴ διαφέρου, πότερον ῥιγῶν ἢ θαλπόμενος τὸ πρέπον ποιεῖς· καὶ πότερον νυστάζων, ἢ ἱκανῶς ὕπνου ἔχων· καὶ πότερον κακῶς ἀκούων, ἢ εὐφημούμενος· καὶ πότερον ἀποθνήσκων, ἢ πράττων τι ἀλλοῖον. Μία γὰρ τῶν βιωτικῶν πράξεων καὶ αὕτη ἐστὶ, καθ᾽ ἣν ἀποθνήσκομεν· ἀρκεῖ οὖν καὶ ἐπὶ ταύτης τὸ παρὸν εὖ θέσθαι.

γ΄. Ἔσω βλέπε· μηδενὸς πράγματος μήτε ἡ ἰδία ποιότης, μήτε ἡ ἀξία παρατρεχέτω σε.

δ΄. Πάντα τὰ ὑποκείμενα τάχιστα μεταβάλλει, καὶ ἤτοι ἐκθυμιαθήσεται, εἴπερ ἥνωται ἡ οὐσία, ἢ σκεδασθήσεται.

ε΄. Ὁ διοικῶν λόγος οἶδε, πῶς διακείμενος, καὶ τί ποιεῖ, καὶ ἐπὶ τίνος ὕλης.

ϛ΄. Ἄριστος τρόπος τοῦ ἀμύνεσθαι, τὸ μὴ ἐξομοιοῦσθαι.

ζ΄. Ἑνὶ τέρπου καὶ προσαναπαύου, τῷ ἀπὸ πρά-

ξεως κοινωνικῆς μεταβαίνειν ἐπὶ πρᾶξιν κοινωνικὴν, σὺν μνήμῃ θεοῦ.

η'. Τὸ ἡγεμονικόν ἐστι, τὸ ἑαυτὸ ἐγεῖρον καὶ τρέπον, καὶ ποιοῦν μὲν ἑαυτὸ, οἷον ἂν ᾖ καὶ θέλῃ, ποιοῦν δὲ ἑαυτῷ φαίνεσθαι πᾶν τὸ σύμβαῖνον, οἷον αὐτὸ θέλει.

θ'. Κατὰ τὴν τῶν ὅλων φύσιν ἕκαστα περαίνεται, οὐ γὰρ κατ' ἄλλην γέ τινα φύσιν, ἤτοι ἔξωθεν περιέχουσαν, ἢ ἐμπεριεχομένην ἔνδον, ἢ ἔξω ἀπηρτημένην.

ι'. Ἤτοι κυκεὼν, καὶ ἀντεμπλοκὴ, καὶ σκεδασμός· ἢ ἕνωσις καὶ τάξις καὶ πρόνοια. Εἰ μὲν οὖν τὰ πρότερα, τί καὶ ἐπιθυμῶ εἰκαίῳ συγκρίματι καὶ φυρμῷ τοιούτῳ ἐνδιατρίβειν; τί δέ μοι καὶ μέλει ἄλλου τινὸς, ἢ τοῦ ὅπως ποτὲ αἶα γίνεσθαι; τί δὲ καὶ ταράσσομαι; ἥξει γὰρ ἐπ' ἐμὲ ὁ σκεδασμὸς, ὅ τι ἂν ποιῶ· εἰ δὲ θἄτερά ἐστι, σέβω καὶ εὐσταθῶ, καὶ θαῤῥῶ τῷ διοικοῦντι.

ια'. Ὅταν ἀναγκασθῇς ὑπὸ τῶν περιεστηκότων οἱονεὶ διαταραχθῆναι, ταχέως ἐπάνιθι εἰς ἑαυτὸν, καὶ μὴ ὑπὲρ τὰ ἀναγκαῖα ἐξίστασο τοῦ ῥυθμοῦ· ἔσῃ γὰρ ἐγκρατέστερος τῆς ἁρμονίας, τῷ συνεχῶς εἰς αὐτὴν ἐπανέρχεσθαι.

ιβ'. Εἰ μητρυιάν τε ἅμα εἶχες καὶ μητέρα, ἐκείνην τ' ἂν ἐθεράπευες, καὶ ὅμως ἡ ἐπάνοδός σοι πρὸς τὴν μητέρα συνεχὴς ἐγίνετο. Τοῦτό σοι νῦν ἐστιν ἡ αὐλὴ, καὶ (ἡ) φιλοσοφία· ὧδε πολλάκις ἐπάνιθι, καὶ προσαναπαύου ταύτῃ, δι' ἣν καὶ τὰ ἐκεῖ σοι ἀνεκτὰ φαίνεται, καὶ σὺ ἐν αὐτοῖς ἀνεκτός.

ιγ'. Οἷον δὴ τὸ φαντασίαν λαμβάνειν ἐπὶ τῶν

ὄψων καὶ τῶν τοιούτων ἐδωδίμων, ὅτι νεκρὸς οὗτος ἰχθύος, οὗτος δὲ νεκρὸς ὄρνιθος, ἢ χοίρου· καὶ πάλιν, ὅτι ὁ Φάλερνος χυλάριόν ἐστι σταφυλίου· καὶ ἡ περιπόρφυρος, τριχία προβατίου, αἱματίῳ κόγχης δεδευμένα· καὶ ἐπὶ τῶν κατὰ τὴν συνουσίαν, ἐντερίου παράτριψις, καὶ μετά τινος σπασμοῦ μυξαρίου ἔκκρισις· οἷαι δὴ αὗταί εἰσιν αἱ φαντασίαι, καθικνούμεναι αὐτῶν τῶν πραγμάτων καὶ διεξιοῦσαι δι' αὐτῶν, ὥστε ὁρᾶν, οἷά τινά ποτ' ἐστίν· οὕτως δεῖ παρ' ὅλον τὸν βίον ποιεῖν, καὶ ὅπου λίαν ἀξιόπιςα τὰ πράγματα φαντάζεται, ἀπογυμνοῦν αὐτὰ, καὶ τὴν εὐτέλειαν αὐτῶν καθορᾶν, καὶ τὴν ἱστορίαν, ἐφ' ᾗ σεμνύνεται, περιαιρεῖν. Δεινὸς γὰρ ὁ τῦφος παραλογιστής· καὶ ὅτε δοκεῖς μάλιστα περὶ τὰ σπουδαῖα καταγίνεσθαι, τότε μάλιστα καταγοητεύει. Ὅρα γοῦν, ὁ Κράτης τί περὶ αὐτοῦ τοῦ Ξενοκράτους λέγει.

ιδ΄. Τὰ πλεῖστα, ὧν ἡ πληθὺς θαυμάζει, εἰς γενικώτατα ἀνάγεται, τὰ ὑπὸ ἕξεως ἢ φύσεως συνεχόμενα, λίθους, ξύλα, συκᾶς, ἀμπέλους, ἐλαίας· τὰ δὲ ὑπὸ τῶν ὀλίγῳ μετριωτέρων, εἰς τὰ ὑπὸ ψυχῆς, οἷον ποίμνας, ἀγέλας· τὰ δὲ ὑπὸ τῶν ἔτι χαριεστέρων, εἰς τὰ ὑπὸ λογικῆς ψυχῆς, οὐ μέντοι καθολικῆς, ἀλλὰ καθὸ τεχνικὴ, ἢ ἄλλως πως ἐντρεχὴς, ἢ κατὰ ψιλὸν, τὸ πλῆθος ἀνδραπόδων κεκτῆσθαι. Ὁ δὲ ψυχὴν λογικὴν καθολικὴν καὶ πολιτικὴν τιμῶν, οὐδὲν ἔτι τῶν ἄλλων ἐπιστρέφεται· πρὸ ἁπάντων δὲ τὴν ἑαυτοῦ ψυχὴν λογικῶς καὶ κοινωνικῶς ἔχουσαν, καὶ κινουμένην διασώζει, καὶ τῷ ὁμογενεῖ εἰς τοῦτο συνεργεῖ.

ιέ. Τὰ μὲν σπεύδει γίνεσθαι, τὰ δὲ σπεύδει γεγο-

νέναι· καὶ τοῦ γινομένου δὲ ἤδη τι ἀπέσβη· ῥύσεις καὶ ἀλλοιώσεις ἀνανεοῦσι τὸν κόσμον διηνεκῶς, ὥσπερ τὸν ἄπειρον αἰῶνα ἡ τοῦ χρόνου ἀδιάλειπτος φορὰ νέον ἀεὶ παρέχεται. Ἐν δὴ τούτῳ τῷ ποταμῷ τί ἄν τις τούτων τῶν παραθεόντων ἐκτιμήσειεν, ἐφ' οὗ στῆναι οὐκ ἔξεστιν; ὥσπερ εἴ τίς τι τῶν παραπετομένων στρουθαρίων φιλεῖν ἄρχοιτο· τὸ δ' ἤδη ἐξ ὀφθαλμῶν ἀπελήλυθεν. Τοιοῦτον δή τι καὶ αὐτὴ ἡ ζωὴ ἑκάστου, οἷον ἡ ἀφ' αἵματος ἀναθυμίασις, καὶ ἡ ἐκ τοῦ ἀέρος ἀνάπνευσις. Ὁποῖον γάρ ἐστι τὸ ἅπαξ ἑλκῦσαι τὸν ἀέρα καὶ ἀποδοῦναι, ὅπερ παρέκαστον ποιοῦμεν, τοιοῦτόν ἐστι καὶ τὸ τὴν πᾶσαν ἀναπνευστικὴν δύναμιν, ἣν χθὲς καὶ πρώην ἀποτεχθεὶς ἐκτήσω, ἀποδοῦναι ἐκεῖ, ὅθεν τὸ πρῶτον ἔσπασας.

ις'. Οὔτε τὸ διαπνεῖσθαι, ὡς τὰ φυτά, τίμιον, οὔτε τὸ ἀναπνεῖν, ὡς τὰ βοσκήματα καὶ τὰ θηρία, οὔτε τὸ τυποῦσθαι κατὰ φαντασίαν, οὔτε τὸ νευροσπαστεῖσθαι καθ' ὁρμήν, οὔτε τὸ συναγελάζεσθαι, οὔτε τὸ τρέφεσθαι· τοῦτο γὰρ ὅμοιον τῷ ἀποκρίνειν τὰ περιττώματα τῆς τροφῆς. Τί οὖν τίμιον; τὸ κροτεῖσθαι; οὐχί. Οὐκοῦν οὐδὲ τὸ ὑπὸ γλωσσῶν κροτεῖσθαι· αἱ γὰρ παρὰ τῶν πολλῶν εὐφημίαι, κρότος γλωσσῶν. Ἀφῆκας οὖν καὶ τὸ δοξάριον· τί καταλείπεται τίμιον; δοκῶ μέν, τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν κινεῖσθαι, καὶ ἴσχεσθαι, ἐφ' ὃ καὶ αἱ ἐπιμέλειαι ἄγουσι καὶ αἱ τέχναι. Ἥ τε γὰρ τέχνη πᾶσα τούτου στοχάζεται, ἵνα τὸ κατασκευασθὲν ἐπιτηδείως ἔχῃ πρὸς τὸ ἔργον, πρὸς ὃ κατεσκεύασται·

κέ. Ἐνθυμήθητι, πόσα κατὰ τὸν αὐτὸν ἀκαριαῖον χρόνον ἐν ἑκάστῳ ἡμῶν ἅμα γίνεται, σωματικὰ ὁμοῦ καὶ ψυχικά· καὶ οὕτως οὐ θαυμάσεις, εἰ πολὺ πλείω, μᾶλλον δὲ πάντα τὰ γινόμενα ἐν τῷ ἑνί τε καὶ σύμπαντι, ὃ δὴ κόσμον ὀνομάζομεν, ἅμα ἐνυφίσταται.

κϛ΄. Ἐάν τίς σοι προβάλῃ, πῶς γράφεται τὸ Ἀντωνίνου ὄνομα, μήτι κατεντεινόμενος προοίσῃ ἕκαστον τῶν στοιχείων; τί οὖν ἐὰν ὀργίζωνται, μήτι ἀντοργιῇ; μήτι οὐκ ἐξαριθμήσῃ πρᾴως προϊὼν ἕκαστον τῶν γραμμάτων; οὕτως οὖν καὶ ἐνθάδε μέμνησο, ὅτι πᾶν καθῆκον ἐξ ἀριθμῶν τινων συμπληροῦται. Τούτους δεῖ τηροῦντα, καὶ μὴ θορυβούμενον, μηδὲ τοῖς δυσχεραίνουσιν ἀντιδυσχεραίνοντα, περαίνειν ὁδῷ τὸ προκείμενον.

κζ΄. Πῶς ὠμόν ἐστι, μὴ ἐπιτρέπειν τοῖς ἀνθρώποις ὁρμᾷν ἐπὶ τὰ φαινόμενα αὐτοῖς οἰκεῖα συμφέροντα; καίτοι τρόπον τινὰ οὐ συγχωρεῖς αὐτοῖς τοῦτο ποιεῖν, ὅταν ἀγανακτῇς, ὅτι ἁμαρτάνουσι. Φέρονται γὰρ πάντως ὡς ἐπὶ οἰκεῖα καὶ συμφέροντα αὐτοῖς. — Ἀλλ' οὐκ ἔχει οὕτως. — Οὐκοῦν δίδασκε, καὶ δείκνυε μὴ ἀγανακτῶν.

κή. Θάνατος, ἀνάπαυλα αἰσθητικῆς ἀντιτυπίας, καὶ ὁρμητικῆς νευροσπαστίας, καὶ διανοητικῆς διεξόδου, καὶ τῆς πρὸς τὴν σάρκα λειτουργίας.

κθ΄. Αἰσχρόν ἐστιν, ἐν ᾧ βίῳ τὸ σῶμά σοι μὴ ἀπαυδᾷ, ἐν τούτῳ τὴν ψυχὴν προαπαυδᾷν.

λ΄. Ὅρα, μὴ ἀποκαισαρωθῇς, μὴ βαφῇς· γίνεται γάρ. Τήρησον οὖν σεαυτὸν ἁπλοῦν, ἀγαθὸν, ἀκέ-

ραιον, σεμνὸν, ἄκομψον, τοῦ δικαίου φίλον, θεοσεβῆ, εὐμενῆ, φιλόστοργον, ἐῤῥωμένον πρὸς τὰ πρέποντα ἔργα. Ἀγώνισαι, ἵνα τοιοῦτος συμμείνῃς, οἷόν σε ἠθέλησε ποιῆσαι φιλοσοφία. Αἰδοῦ θεοὺς, σῶζε ἀνθρώπους. Βραχὺς ὁ βίος· εἷς καρπὸς τῆς ἐπιγείου ζωῆς, διάθεσις ὁσία, καὶ πράξεις κοινωνικαί. Πάντα, ὡς Ἀντωνίνου μαθητής· τὸ ὑπὲρ τῶν κατὰ λόγον πρασσομένων εὔτονον ἐκείνου, καὶ τὸ ὁμαλὲς πανταχοῦ, καὶ τὸ ὅσιον, καὶ τὸ εὔδιον τοῦ προσώπου, καὶ τὸ μειλίχιον, καὶ τὸ ἀκενόδοξον, καὶ τὸ περὶ τὴν κατάληψιν τῶν πραγμάτων φιλότιμον· καὶ ὡς ἐκεῖνος οὐκ ἂν τι ὅλως παρῆκε, μὴ πρότερον εὖ μάλα κατιδὼν καὶ σαφῶς νοήσας· καὶ ὡς ἔφερεν ἐκεῖνος τοὺς ἀδίκως αὐτὸν μεμφομένους, μὴ ἀντιμεμφόμενος· καὶ ὡς ἐπ' οὐδὲν ἔσπευδεν· καὶ ὡς διαβολὰς οὐκ ἐδέχετο· καὶ ὡς ἀκριβὴς ἦν ἐξεταστὴς ἠθῶν καὶ πράξεων· καὶ οὐκ ὀνειδιστὴς, οὐ ψοφοδεὴς, οὐχ ὑπόπτης, οὐ σοφιστής· καὶ ὡς ὀλίγοις ἀρκούμενος, οἷον οἰκήσει, στρωμνῇ, ἐσθῆτι, τροφῇ, ὑπηρεσίᾳ· καὶ ὡς φιλόπονος, καὶ μακρόθυμος· καὶ οἷος μὲν ἐν τῷ μέχρι ἑσπέρας διὰ τὴν λιτὴν δίαιταν, μηδὲ τοῦ ἀποκρίνειν τὰ περιττώματα παρὰ τὴν συνήθη ὥραν χρῄζων· καὶ τὸ βέβαιον καὶ ὅμοιον ἐν ταῖς φιλίαις αὐτοῦ· καὶ τὸ ἀνέχεσθαι (τῶν) ἀντιβαινόντων παῤῥησιαστικῶς ταῖς γνώμαις αὐτοῦ, καὶ χαίρειν, εἴ τίς τι δεικνύοι κρεῖττον· καὶ ὡς θεοσεβὴς χωρὶς δεισιδαιμονίας· ἵν' οὕτως εὐσυνειδήτῳ σοι ἐπιστῇ ἡ τελευταία ὥρα, ὡς ἐκείνῳ.

λά. Ἀνάνηφε καὶ ἀνακαλοῦ σεαυτόν. καὶ ἐξυπνι-

τοιούτου κακοῦ, ἢ τὴν ἀπότευξιν τοῦ τοιούτου ἀγαθοῦ, μέμψασθαί σε θεοῖς· καὶ ἀνθρώπους δὲ μισῆσαι, τοὺς αἰτίους ὄντας, ἢ ὑποπτευομένους ἔσεσθαι, τῆς ἀποτεύξεως, ἢ τῆς περιπτώσεως· καὶ ἀδικοῦμεν δὴ πολλὰ, διὰ τὴν πρὸς ταῦτα διαφοράν. Ἐὰν δὲ μόνα τὰ ἐφ᾽ ἡμῖν ἀγαθὰ καὶ κακὰ κρίνωμεν, οὐδεμία αἰτία καταλείπεται, οὔτε θεῷ ἐγκαλέσαι, οὔτε πρὸς ἄνθρωπον στῆναι στάσιν πολεμίου.

μβʹ. Πάντες εἰς ἓν ἀποτέλεσμα συνεργοῦμεν, οἱ μὲν εἰδότως καὶ παρακολουθητικῶς, οἱ δὲ ἀνεπιστάτως· ὥσπερ καὶ τοὺς καθεύδοντας, οἶμαι, ὁ Ἡράκλειτος ἐργάτας εἶναι λέγει, καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γινομένων. Ἄλλος δὲ κατ᾽ ἄλλο συνεργεῖ· ἐκ περιουσίας δὲ καὶ ὁ μεμφόμενος, καὶ ὁ ἀντιβαίνειν πειρώμενος, καὶ ἀναιρεῖν τὰ γινόμενα. Καὶ γὰρ τοῦ τοιούτου ἔχρῃζεν ὁ κόσμος. Λοιπὸν οὖν σύνες, εἰς τίνας ἑαυτὸν κατατάσσεις· ἐκεῖνος μὲν γὰρ πάντως σοι καλῶς χρήσεται ὁ τὰ ὅλα διοικῶν, καὶ παραδέξεταί σε εἰς μέρος τι τῶν συνεργῶν καὶ συνεργητικῶν. Ἀλλὰ σὺ μὴ τοιοῦτο μέρος γένῃ, οἷος ὁ εὐτελὴς καὶ γελοῖος στίχος ἐν τῷ δράματι, οὗ Χρύσιππος μέμνηται.

μγʹ. Μήτι ὁ ἥλιος τὰ τοῦ ὑετοῦ ἀξιοῖ ποιεῖν; μήτι ὁ Ἀσκληπιὸς τὰ τῆς Καρποφόρου; τί δὲ τῶν ἄστρων ἕκαστον, οὐχὶ διάφορα μὲν, συνεργὰ δὲ πρὸς ταὐτόν;

μδʹ. Εἰ μὲν οὖν ἐβουλεύσαντο περὶ ἐμοῦ καὶ τῶν ἐμοὶ συμβῆναι ὀφειλόντων οἱ θεοὶ, καλῶς ἐβουλεύσαντο· ἄβουλον γὰρ θεὸν οὐδὲ ἐπινοῆσαι ῥᾴδιον· κακοποιῆσαι δέ με διὰ τίνα αἰτίαν ἔμελλον ὁρμᾶν;

τί γὰρ αὐτοῖς, ἢ τῷ κοινῷ, οὗ μάλιστα προνοοῦνται, ἐκ τούτου περιεγένετο; Εἰ δὲ μὴ ἐβουλεύσαντο κατ᾽ ἰδίαν περὶ ἐμοῦ, περί γε τῶν κοινῶν πάντως ἐβουλεύσαντο, οἷς κατ᾽ ἐπακολούθησιν καὶ ταῦτα συμβαίνοντα ἀσπάζεσθαι καὶ στέργειν ὀφείλω. Εἰ δ᾽ ἄρα περὶ μηδενὸς βουλεύονται, πιστεύειν μὲν οὐχ ὅσιον, ἢ μηδὲ θύωμεν, μηδὲ εὐχώμεθα, μηδὲ ὀμνύωμεν, μηδὲ τὰ ἄλλα πράσσωμεν, ἅπερ ἕκαστα ὡς πρὸς παρόντας καὶ συμβιοῦντας τοὺς θεοὺς πράσσομεν. εἰ δὲ ἄρα περὶ μηδενὸς τῶν καθ᾽ ἡμᾶς βουλεύονται, ἐμοὶ μὲν ἔξεστι περὶ ἐμαυτοῦ βουλεύεσθαι· ἐμοὶ δὲ ἐστὶ σκέψις περὶ τοῦ συμφέροντος. συμφέρει δὲ ἑκάστῳ, τὸ κατὰ τὴν ἑαυτοῦ κατασκευὴν καὶ φύσιν· ἡ δὲ ἐμὴ φύσις λογικὴ καὶ πολιτική· πόλις καὶ πατρὶς, ὡς μὲν Ἀντωνίνῳ, μοι ἡ Ῥώμη, ὡς δε ἀνθρώπῳ, ὁ κόσμος. Τὰ ταῖς πόλεσιν οὖν ταύταις ὠφέλιμα, μόνα ἐστί μοι ἀγαθά.

με'. Ὅσα ἑκάστῳ συμβαίνει, ταῦτα τῷ ὅλῳ συμφέρει· ἤρκει τοῦτο. Ἀλλ᾽ ἔτι ἐκεῖνο ὡς ἐπίπαν ὄψει παραφυλάξας, ὅσα ἀνθρώπῳ, καὶ ἑτέροις ἀνθρώποις. Κοινότερον δὲ νῦν τὸ συμφέρον ἐπὶ τῶν μέσων λαμβανέσθω.

μς'. Ὥσπερ προσίσταταί σοι τὰ ἐν τῷ ἀμφιθεάτρῳ καὶ τοῖς τοιούτοις χωρίοις, ὡς ἀεὶ τὰ αὐτὰ ὁρώμενα, καὶ τὸ ὁμοειδὲς προσκορῆ τὴν θέαν ποιεῖ· τοῦτο καὶ ἐπὶ ὅλου τοῦ βίου πάσχειν· πάντα γὰρ ἄνω κάτω τὰ αὐτὰ, καὶ ἐκ τῶν αὐτῶν. Μέχρι τίνος οὖν;

μζ'. Ἐννόει συνεχῶς παντοίους ἀνθρώπους, καὶ

παντοίων μὲν ἐπιτηδευμάτων, παντοδαπῶν δὲ ἐθνῶν, τεθνεῶτας· ὥστε κατιέναι τοῦτο μέχρι Φιλιστίωνος, καὶ Φοίβου, καὶ Ὀριγανίωνος. Μέτιθι νῦν ἐπὶ τὰ ἄλλα φῦλα. Ἐκεῖ δὲ μεταβαλεῖν ἡμᾶς δεῖ, ὅπου τοσοῦτοι μὲν δεινοὶ ῥήτορες, τοσοῦτοι δὲ σεμνοὶ φιλόσοφοι, Ἡράκλειτος, Πυθαγόρας, Σωκράτης· τοσοῦτοι δὲ ἥρωες πρότερον· τοσοῦτοι δὲ ὕστερον στρατηγοὶ, τύραννοι· ἐπὶ τούτοις δὲ Εὔδοξος, Ἵππαρχος, Ἀρχιμήδης, ἄλλαι φύσεις ὀξεῖαι, μεγαλόφρονες, φιλόπονοι, πανοῦργοι, αὐθάδεις, αὐτῆς τῆς ἐπικήρου καὶ ἐφημέρου τῶν ἀνθρώπων ζωῆς χλευασταὶ, οἷον Μένιππος, καὶ ὅσοι τοιοῦτοι. Περὶ πάντων τούτων ἐννόει, ὅτι πάλαι κεῖνται. Τί οὖν τοῦτο δεινὸν αὐτοῖς; τί δαὶ τοῖς μηδ᾽ ὀνομαζομένοις ὅλως; ἓν ὧδε πολλοῦ ἄξιον, τὸ μετ᾽ ἀληθείας καὶ δικαιοσύνης εὐμενῆ τοῖς ψεύσταις καὶ ἀδίκοις διαβιοῦν.

μή. Ὅταν εὐφρᾶναι σεαυτὸν θέλῃς, ἐνθυμοῦ τὰ προτερήματα τῶν συμβιούντων· οἷον, τοῦ μὲν τὸ δραστήριον, τοῦ δὲ τὸ αἰδῆμον, τοῦ δὲ τὸ εὐμετάδοτον, ἄλλου δὲ ἄλλο τι. Οὐδὲν γὰρ οὕτως εὐφραίνει, ὡς τὰ ὁμοιώματα τῶν ἀρετῶν, ἐμφαινόμενα τοῖς ἤθεσι τῶν συζώντων, καὶ ἀθρόα ὡς οἷόν τε συμπίπτοντα. Διὸ καὶ πρόχειρα αὐτὰ ἑκτέον.

μθ'. Μήτι δυσχεραίνεις, ὅτι τοσῶνδέ τινων λιτρῶν εἶ, καὶ οὐ τριακοσίων; οὕτω δὲ καὶ ὅτι μέχρι τοσῶνδε ἐτῶν βιωτέον σοι, καὶ οὐ μέχρι πλείονος· ὥσπερ γὰρ τῆς οὐσίας ὅσον ἀφώρισταί σοι στέργεις, οὕτως καὶ ἐπὶ τοῦ χρόνου.

ν'. Πειρῶμεν πείθειν αὐτούς. Πράττε δὲ καὶ

(αὐτῶν) ἀκόντων, ὅταν τῆς δικαιοσύνης ὁ λόγος οὕτως ἄγῃ. Ἐὰν μέντοι βίᾳ τις προσχρώμενος ἐνίστηται, μετάβαινε ἐπὶ τὸ εὐάρεστον καὶ ἄλυπον, καὶ συγχρῶ εἰς ἄλλην ἀρετὴν τῇ κωλύσει· καὶ μέμνησο, ὅτι μεθ' ὑπεξαιρέσεως ὁρμᾷς, ὅτι καὶ τῶν ἀδυνάτων οὐκ ὠρέγου. Τίνος οὖν; τῆς τοιᾶσδέ τινος ὁρμῆς. Τούτου δὲ τυγχάνεις· ἐφ' οἷς προήχθημεν, ταῦτα γίνεται.

νά. Ὁ μὲν φιλόδοξος ἀλλοτρίαν ἐνέργειαν ἴδιον ἀγαθὸν ὑπολαμβάνει· ὁ δὲ φιλήδονος, ἰδίαν πεῖσιν· ὁ δὲ νοῦν ἔχων, ἰδίαν πρᾶξιν.

νβ'. Ἔξεστι περὶ τούτου μηδὲν ὑπολαμβάνειν, καὶ μὴ ὀχλεῖσθαι τῇ ψυχῇ. αὐτὰ γὰρ τὰ πράγματα οὐκ ἔχει φύσιν ποιητικὴν τῶν ἡμετέρων κρίσεων.

νγ', Ἔθισον σεαυτὸν πρὸς τὸ ὑφ' ἑτέρου λεγόμενον γίνεσθαι ἀπαρενθυμήτως, καὶ ὡς οἷόν τε ἐν τῇ ψυχῇ τοῦ λέγοντος γίνου.

νδ'. Τὸ τῷ σμήνει μὴ συμφέρον, οὐδὲ τῇ μελίσσῃ συμφέρει.

νέ. Εἰ κυβερνῶντα οἱ ναῦται, ἢ ἰατρεύοντα οἱ κάμνοντες κακῶς ἔλεγον, ἄλλῳ τινὶ ἂν προσεῖχον, ἢ πῶς αὐτὸς ἐνεργοίη τὸ τοῖς ἐμπλέουσι σωτήριον, ἢ τὸ τοῖς θεραπευομένοις ὑγιεινόν;

νϛ'. Πόσοι, μεθ' ὧν εἰσῆλθον εἰς τὸν κόσμον, ἤδη ἀπεληλύθασιν;

νζ. Ἰκτεριῶσι τὸ μέλι πικρὸν φαίνεται· καὶ λυσσοδήκτοις τὸ ὕδωρ φοβερόν· καὶ παιδίοις τὸ σφαιρίον καλόν. Τί οὖν ὀργίζομαι; ἢ δοκεῖ σοι ἔλασσον

ἰσχύειν τὸ διεψευσμένον, ἢ τὸ χολίον τῷ ἰκτεριῶντι, καὶ ὁ ἰὸς τῷ λυσσοδήκτῳ;

νή. Κατὰ τὸν λόγον τῆς σῆς φύσεως βιοῦν σε οὐδεὶς κωλύσει· παρὰ τὸν λόγον τῆς κοινῆς φύσεως οὐδέν σοι συμβήσεται.

νθ'. Οἷοί εἰσιν, οἷς θέλουσιν ἀρέσκειν, καὶ δι' οἷα περιγινόμενα, καὶ δι' οἵων ἐνεργειῶν. Ὡς ταχέως ὁ αἰὼν πάντα καλύψει· καὶ ὅσα ἐκάλυψεν ἤδη.

ΒΙΒΛΙΟΝ Ζ.

Τί ἐστι κακία; — Τοῦτ' ἔστιν, ὃ πολλάκις εἶδες. Καὶ ἐπὶ παντὸς δὲ τοῦ συμβαίνοντος πρόχειρον ἔχε, ὅτι τοῦτό ἐστιν, ὃ πολλάκις εἶδες. Ὅλως ἄνω κάτω τὰ αὐτὰ εὑρήσεις, ὧν μεσταὶ αἱ ἱστορίαι αἱ παλαιαὶ, αἱ μέσαι, αἱ ὑπόγυιοι· ὧν νῦν μεσταὶ αἱ πόλεις καὶ (αἱ) οἰκίαι. Οὐδὲν καινόν· πάντα καὶ συνήθη καὶ ὀλιγοχρόνια.

β'. Τὰ δόγματα πῶς ἄλλως δύναται νεκρωθῆναι, ἐὰν μὴ αἱ κατάλληλοι αὐτοῖς φαντασίαι σβεσθῶσιν; ἃς διηνεκῶς ἀναζωπυρεῖν ἐπὶ σοί ἐστι. Δύναμαι περὶ τούτου, ὃ δεῖ, ὑπολαμβάνειν· εἰ δύναμαι, τί ταράσσομαι; τὰ ἔξω τῆς ἐμῆς διανοίας οὐδὲν ὅλως πρὸς τὴν ἐμὴν διάνοιαν. Τοῦτο πάθε, καὶ ὀρθὸς εἶ· ἀναβιῶναί σοι ἔξεστιν· ἴδε πάλιν τὰ πράγματα, ὡς ἑώρας· ἐν τούτῳ γὰρ τὸ ἀναβιῶναι·

γ'. Πομπῆς κενοσπουδία, ἐπὶ σκηνῆς δράματα, ποίμνια, ἀγέλαι, διαδορατισμοὶ, κυνιδίοις ὀστάριον ἐῤῥιμένον, ψωμίον εἰς τὰς τῶν ἰχθύων δεξαμενάς,

μυρμήκων ταλαιπωρίαι καὶ ἀχθοφορίαι, μυϊδίων ἐπτοημένων διαδρομαὶ, σιγιλλάρια νευροσπαστούμενα. Χρὴ οὖν ἐν τούτοις εὐμενῶς μὲν καὶ μὴ καταφρυαττόμενον ἑστάναι· παρακολουθεῖν μέντοι, ὅτι τοσούτου ἄξιος ἕκαστός ἐστιν, ὅσου ἄξιά ἐστι ταῦτα, περὶ ἃ ἐσπούδακεν.

δ'. Δεῖ κατὰ λέξιν παρακολουθεῖν τοῖς λεγομένοις, καὶ καθ' ἑκάστην ὁρμὴν τοῖς γινομένοις. Καὶ ἐπὶ μὲν τοῦ ἑτέρου εὐθὺς ὁρᾷν, ἐπὶ τίνα σκοπὸν ἡ ἀναφορά· ἐπὶ δὲ τοῦ ἑτέρου παραφυλάσσειν, τί τὸ σημαινόμενον.

έ. Πότερον ἐξαρκεῖ ἡ διάνοιά μου πρὸς τοῦτο, ἢ οὔ; Εἰ μὲν ἐξαρκεῖ, χρῶμαι αὐτῇ πρὸς τὸ ἔργον, ὡς ὀργάνῳ παρὰ τῆς τῶν ὅλων φύσεως δοθέντι. Εἰ δὲ μὴ ἐξαρκεῖ, ἤτοι παραχωρῶ τοῦ ἔργου τῷ δυναμένῳ κρεῖττον ἐπιτελέσαι, ἐὰν ἄλλως τοῦτο μὴ καθήκῃ· ἢ πράσσω, ὡς δύναμαι, προσπαραλαβὼν τὸν δυνάμενον κατὰ πρόσχρησιν τοῦ ἐμοῦ ἡγεμονικοῦ ποιῆσαι τὸ εἰς τὴν κοινωνίαν νῦν καίριον καὶ χρήσιμον. Ὅ τι γὰρ ἂν δι' ἐμαυτοῦ, ἢ σὺν ἄλλῳ ποιῶ, ὧδε μόνον χρὴ συντείνειν, εἰς τὸ κοινῇ χρήσιμον καὶ εὐάρμοστον.

ς'. Ὅσοι μὲν, πολυύμνητοι γενόμενοι, ἤδη λήθῃ παραδέδονται· ὅσοι δὲ, τούτους ὑμνήσαντες, πάλαι ἐκποδών.

ζ'. Μὴ αἰσχύνου βοηθούμενος· πρόκειται γάρ σοι ἐνεργεῖν τὸ ἐπιβάλλον, ὡς στρατιώτῃ ἐν τειχομαχίᾳ. Τί οὖν, ἐὰν σὺ μὲν χωλαίνων ἐπὶ τὴν ἔπαλ-

ξιν ἀναβῆναι μόνος μὴ δύνῃ, σὺν ἄλλῳ δὲ δυνατὸν ᾖ τοῦτο;

ή. Τὰ μέλλοντα μὴ ταρασσέτω· ἥξεις γὰρ ἐπ' αὐτὰ, ἐὰν δεήσῃ, φέρων τὸν αὐτὸν λόγον, ᾧ νῦν πρὸς τὰ παρόντα χρᾷ.

θ'. Πάντα ἀλλήλοις ἐπιπλέκεται καὶ ἡ σύνδεσις ἱερὰ, καὶ σχεδόν τι οὐδὲν ἀλλότριον ἄλλο ἄλλῳ. Συγκατατέτακται γὰρ, καὶ συγκοσμεῖ τὸν αὐτὸν κόσμον. Κόσμος τε γὰρ εἷς ἐξ ἁπάντων, καὶ Θεὸς εἷς διὰ πάντων, καὶ οὐσία μία, καὶ νόμος εἷς, λόγος κοινὸς πάντων τῶν νοερῶν ζώων, καὶ ἀλήθεια μία· εἴγε καὶ τελειότης μία τῶν ὁμογενῶν, καὶ τοῦ αὐτοῦ λόγου μετεχόντων ζώων.

ι. Πᾶν τὸ ἔνυλον ἐναφανίζεται τάχιστα τῇ τῶν ὅλων οὐσίᾳ· καὶ πᾶν αἴτιον εἰς τὸν τῶν ὅλων λόγον τάχιστα ἀναλαμβάνεται· καὶ παντὸς μνήμη τάχιστα ἐγκαταχώννυται τῷ αἰῶνι.

ιά. Τῷ λογικῷ ζώῳ ἡ αὐτὴ πρᾶξις κατὰ φύσιν ἐστὶ, καὶ κατὰ λόγον.

ιβ'. Ὀρθὸς, ἢ ὀρθούμενος.

ιγ'. Οἷόν ἐστιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώματος, τοῦτον ἔχει τὸν λόγον ἐν διεστῶσι τὰ λογικὰ, πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα. Μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται, ἐὰν πρὸς ἑαυτὸν πολλάκις λέγῃς, ὅτι μέλος εἰμὶ τοῦ ἐκ τῶν λογικῶν συστήματος. Ἐὰν δὲ [διὰ τοῦ ῥῶ στοιχείου] μέρος εἶναι ἑαυτὸν λέγῃς, οὔπω ἀπὸ καρδίας φιλεῖς τοὺς ἀνθρώπους· οὔπω σε καταληπτικῶς εὐ-

φραίνει τὸ εὐεργετεῖν· ἔτι ὡς πρέπον αὐτὸ ψιλὸν ποιεῖς· οὔπω ὡς αὐτὸν εὖ ποιῶν.

ιδ'. Ὃ θέλει, ἔξωθεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώσεως ταύτης δυναμένοις. Ἐκεῖνα γάρ, ἐὰν θελήσῃ, μέμψεται τὰ παθόντα· ἐγὼ δέ, ἐὰν μὴ ὑπολάβω, ὅτι κακὸν τὸ συμβεβηκός, οὔπω βέβλαμμαι. Ἔξεστι δέ μοι μὴ ὑπολαβεῖν.

ιέ. Ὅ τι ἂν τις ποιῇ, ἢ λέγῃ, ἐμὲ δεῖ ἀγαθὸν εἶναι· ὡς ἂν εἰ ὁ χρυσός, ἢ ὁ σμάραγδος, ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν, ὅ τι ἂν τις ποιῇ, ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι, καὶ τὸ ἐμαυτοῦ χρῶμα ἔχειν.

ις'. Τὸ ἡγεμονικὸν αὐτὸ ἑαυτῷ οὐκ ἐνοχλεῖ, οἷον λέγω, οὐ φοβεῖ ἑαυτό, *εἰς ἐπιθυμίαν. Εἰ δέ τις ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιείτω. Αὐτὸ γὰρ ἑαυτὸ ὑποληπτικῶς οὐ τρέψει εἰς τοιαύτας τροπάς. Τὸ σωμάτιον μὴ πάθῃ τι, αὐτὸ μεριμνάτω, εἰ δύναται, καὶ λεγέτω, εἴ τι πάσχει· τὸ δὲ ψυχάριον, τὸ φοβούμενον, τὸ λυπούμενον, τὸ περὶ τούτων ὅλως ὑπολαμβάνον, οὐδὲν μὴ πάθῃ. οὐ γὰρ ἔξεις αὐτὸ εἰς κρίσιν τοιαύτην· ἀπροσδεές ἐστιν, ὅσον ἐφ' ἑαυτῷ, τὸ ἡγεμονικόν, ἐὰν μὴ ἑαυτῷ ἔνδειαν ποιῇ· κατὰ ταὐτὰ δὲ καὶ ἀτάραχον, καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμποδίζῃ.

ιζ'. Εὐδαιμονία ἐστὶ δαίμων ἀγαθός, ἢ ἀγαθόν. Τί οὖν ὧδε ποιεῖς, ὦ φαντασία; ἀπέρχου, τοὺς θεούς σοι! ὡς ἦλθες· οὐ γὰρ χρῄζω σου. Ἐλήλυθας δὲ κατὰ τὸ ἀρχαῖον ἔθος. Οὐκ ὀργίζομαί σοι· μόνον ἄπιθι.

ιή. Φοβεῖταί τις μεταβολήν; τί γὰρ δύναται χω-

ρὶς μεταβολῆς γενέσθαι; τί δαὶ φίλτερον, ἢ οἰκειότερον τῇ τῶν ὅλων φύσει; σὺ δὲ αὐτὸς λούσασθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; τραφῆναι δὲ δύνασαι, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλῃ; ἄλλο δέ τι τῶν χρησίμων δύναται συντελεσθῆναι χωρὶς μεταβολῆς; Οὐχ ὁρᾷς οὖν, ὅτι καὶ αὐτὸ τὸ σὲ μεταβαλεῖν ὅμοιόν ἐστι καὶ ὁμοίως ἀναγκαῖον τῇ τῶν ὅλων φύσει;

ιθ΄. Διὰ τῆς τῶν ὅλων οὐσίας, ὡς διὰ χειμάῤῥου, διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργά, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις. Πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Ἐπικτήτους καταπέπωκε; τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ παντὸς οὑτινοσοῦν σοι ἀνθρώπου τε καὶ πράγματος προσπιπτέτω.

κ΄. Ἐμὲ ἓν μόνον περισπᾷ, μή τι αὐτὸς ποιήσω, ὃ ἡ κατασκευὴ τοῦ ἀνθρώπου οὐ θέλει, ἢ ὡς οὐ θέλει, ἢ ὃ νῦν οὐ θέλει.

κα΄. Ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη· ἐγγὺς δὲ ἡ πάντων περὶ σοῦ λήθη.

κβ΄. Ἴδιον ἀνθρώπου τὸ φιλεῖν καὶ τοὺς πταίοντας. Τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς, καὶ δι᾽ ἄγνοιαν, καὶ ἄκοντες ἁμαρτάνουσι, καὶ ὡς μετ᾽ ὀλίγον ἀμφότεροι τεθνήξεσθε, καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέ σε· οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν, ἢ πρόσθεν ἦν.

κγ΄. Ἡ τῶν ὅλων φύσις ἐκ τῆς ὅλης οὐσίας, ὡς κηροῦ, νῦν μὲν ἱππάριον ἔπλασε· συγχέασα δὲ τοῦτο, εἰς δένδρου φύσιν συνεχρήσατο τῇ ὕλῃ αὐτοῦ· εἶτα εἰς ἄλλο τι· ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέ-

στη. Δεινὸν δὲ οὐδὲν τὸ διαλυθῆναι τῷ κιβωτίῳ, ὥσπερ οὐδὲ τὸ συμπαγῆναι.

κδ'. Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, ὅταν πολλάκις ἐναποθνήσκειν ᾗ πρόσχημα, ἢ τὸ τελευταῖον ἀποσβέσθῃ, ὥστε ὅλως ἐξαφθῆναι μὴ δύνασθαι. Αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον. Εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία;

κέ. Πάντα, ὅσα ὁρᾷς, ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις, καὶ ἄλλα ἐκ τῆς οὐσίας αὐτῶν ποιήσει, καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος.

κς'. Ὅταν τις ἁμάρτῃ τι εἰς σὲ, εὐθὺς ἐνθυμοῦ, τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτε. Τοῦτο γὰρ ἰδὼν, ἐλεήσεις αὐτὸν, καὶ οὔτε θαυμάσεις, οὔτε ὀργισθήσῃ. Ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἔτι ὑπολαμβάνεις, ἢ ἄλλο ὁμοειδές. Δεῖ οὖν συγγινώσκειν. Εἰ δὲ μηκέτι ὑπολαμβάνεις τὰ τοιαῦτα ἀγαθὰ καὶ κακὰ, ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρορῶντι.

κζ. Μὴ τὰ ἀπόντα ἐννοεῖν, ὡς ἤδη ὄντα· ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι, καὶ τούτων χάριν ὑπομιμνήσκεσθαι, πῶς ἂν ἐπεζητεῖτο, εἰ μὴ παρῆν. Ἅμα μέντοι φυλάσσου, μὴ, διὰ τοῦ οὕτως ἀσμενίζειν αὐτοῖς, ἐθίσῃς ἐκτιμᾶν αὐτὰ, ὥστε, ἐάν ποτε μὴ παρῇ, ταραχθήσεσθαι.

κή. Εἰς αὑτὸν σύνειλοῦ. Φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικὸν, ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι, καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι.

κθ'. Ἐξάλειψον τὴν φαντασίαν. Στῆσον τὴν νευ-

ροσπαστίαν. Περίγραψον τὸ ἐνεστὼς τοῦ χρόνου. Γνώρισον τὸ συμβαῖνον, ἢ σοὶ, ἢ ἄλλῳ. Δίελε καὶ μέρισον τὸ ὑποκείμενον εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. Ἐννόησον τὴν ἐσχάτην ὥραν. Τὸ ἐκείνῳ ἁμαρτηθὲν ἐκεῖ κατάλιπε, ὅπου ἡ ἁμαρτία ὑπέστη.

λ'. Συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. Εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ γινόμενα καὶ ποιοῦντα.

λά. Φαίδρυνον σεαυτὸν ἁπλότητι καὶ αἰδοῖ καὶ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας ἀδιαφορίᾳ. Φίλησον τὸ ἀνθρώπινον γένος. Ἀκολούθησον θεῷ. Ἐκεῖνος μέν φησιν, ὅτι Πάντα νομιστί. Ἔτι εἰ δαίμονα τὰ στοιχεῖα· ἀρκεῖ δὲ μεμνῆσθαι, ὅτι τὰ πάντα νομιστὶ ἔχει· ἤδη λίαν ὀλίγα.

λβ'. Περὶ θανάτου· εἰ σκεδασμὸς, ἢ ἄτομοι, ἢ κένωσις, ἤτοι σβέσις, ἢ μετάστασις.

λγ'. Περὶ πόνου· τὸ μὲν ἀφόρητον ἐξάγει· τὸ δὲ χρονίζον, φορητόν· καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ, καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονε. Τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ τι δύναται, περὶ αὐτοῦ ἀποφηνάσθω.

λδ'. Περὶ δόξης· ἴδε τὰς διανοίας αὐτῶν, οἷαι, καὶ οἷα μὲν φεύγουσαι, οἷα δὲ διώκουσαι. Καὶ ὅτι, ὡς αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφορούμεναι κρύπτουσι τὰς προτέρας, οὕτως ἐν τῷ βίῳ τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη.

λέ. [Πλατωνικόν]. „Ὧι οὖν ὑπάρχει διάνοια με„γαλοπρεπὴς, καὶ θεωρία παντὸς μὲν χρόνου, πά„σης δὲ οὐσίας, ἆρα (οἷόν τε) οἴει τούτῳ μέγα τι „δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; Ἀδύνατον, ἢ

„δ' ὅς. Οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται „ὁ τοιοῦτος. Ἥκιστά γε".

λς'. [Ἀντισθενικόν]. „Βασιλικὸν, εὖ μὲν πράττειν, „κακῶς δὲ ἀκούειν".

λζ'. Αἰσχρόν ἐστι, τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι καὶ σχηματίζεσθαι, καὶ κατακοσμεῖσθαι, ὡς κελεύει ἡ διάνοια, αὐτὴν δ' ὑφ' ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι.

λή. Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδέν.

λθ'. Ἀθανάτοις τε θεοῖς καὶ ἡμῖν χάρματα δοίης!

μ'. Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν,
Καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή.

μά. Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμὼ,
Ἔχει λόγον καὶ τοῦτο.

μβ'. Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον:

μγ'. Μὴ συνεπιθρηνεῖν, μὴ σφύζειν.

μδ'. [Πλατωνικά]. „Ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λό„γον ἀντείποιμι· ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, „εἰ οἴει, δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ „τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός „(ἐστιν)· ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράτ„τῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς „ἀγαθοῦ ἔργα ἢ κακοῦ".

μέ. „Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀλη„θείᾳ, οὗ ἄν τις αὑτὸν τάξῃ ἡγησάμενος βέλτιστον „εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ „δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, „μήτε θάνατον, μήτε ἄλλο (τι) μηδὲν πρὸ τοῦ αἰ„σχροῦ".

μϛ'. „Ἀλλ', ὦ μακάριε, ὅρα, μὴ ἄλλο τι τὸ γενναῖον, καὶ τὸ ἀγαθὸν ᾖ, ἢ τὸ σώζειν τε καὶ σώζεσθαι· μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁποσονδὴ χρόνον, „τόν γε ὡς ἀληθῶς ἄνδρα, ἐατέον ἐστί, καὶ οὐ φιλοψυχητέον, ἀλλ' ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ, „καὶ πιστεύσαντα ταῖς γυναιξίν, ὅτι τὴν εἱμαρμένην „οὐδ' ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον, τίνα „ἂν τρόπον, τοῦτον, ὃν μέλλει χρόνον βιῶναι, ὡς „ἄριστα βιῴη".

μζ'. Περισκοπεῖν ἄστρων δρόμους, ὥσπερ συμπεριθέοντα· καὶ τὰς τῶν στοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν. Ἀποκαθαίρουσι γὰρ αἱ τούτων φαντασίαι τὸν ῥύπον τοῦ χαμαὶ βίου.

μη'. Καλὸν τὸ τοῦ Πλάτωνος. Καὶ δὴ περὶ ἀνθρώπων τοὺς λόγους ποιούμενον, ἐπισκοπεῖν δεῖ καὶ τὰ ἐπίγεια, ὥσπερ ποθὲν ἄνωθεν, κατὰ ἀγέλας, στρατεύματα, γεώργια, γάμους, διαλύσεις, γενέσεις, θανάτους, δικαστηρίων θόρυβον, ἐρήμους χώρας, βαρβάρων ἔθνη ποικίλα, ἑορτάς, θρήνους, ἀγοράς, τὸ παμμιγές, καὶ τὸ ἐκ τῶν ἐναντίων συγκοσμούμενον.

μθ'. Τὰ προγεγονότα ἀναθεωρεῖν· τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολάς. Ἔξεστι καὶ τὰ ἐσόμενα προεφορᾶν. Ὁμοειδῆ γὰρ πάντως ἔσται, καὶ οὐχ οἷόν τε ἐκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομένων· ὅθεν καὶ ἴσον, τὸ τεσσαράκοντα ἔτεσιν ἱστορῆσαι τὸν ἀνθρώπινον βίον, τῷ ἐπὶ ἔτη μύρια. Τί γὰρ πλέον ὄψει;

ν'. Καὶ τὰ ἐκ γῆς μὲν

Φύντ' εἰς γαῖαν· τὰ δ' ὑπ' αἰθερίου
Βλαστόντα γονῆς εἰς εὐράνιον
Πόλον ἦλθε πάλιν.

Ἢ τοῦτο διάλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν στοιχείων.

να'. Καὶ

Σίτοισι καὶ ποτοῖσι καὶ μαγεύμασι
Παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν.

. . . .

Θεόθεν δὲ πνέοντ' οὖρον
Ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις.

νβ'. Καββαλικώτερος, ἀλλ' οὐχὶ κοινωνικώτερος, οὐδὲ αἰδημονέστερος, οὐδὲ εὐμενέστερος πρὸς τὰ τῶν πλησίον παροράματα.

νγ'. Ὅπου ἔργον ἐπιτελεῖσθαι δύναται κατὰ τὸν κοινὸν θεοῖς καὶ ἀνθρώποις λόγον, ἐκεῖ οὐδὲν δεινόν· ὅπου γὰρ ὠφελείας τυχεῖν ἔξεστι διὰ τῆς εὐοδούσης καὶ κατὰ τὴν κατασκευὴν προϊούσης ἐνεργείας, ἐκεῖ οὐδεμίαν βλάβην ὑφορατέον.

νδ'. Πανταχοῦ καὶ διηνεκῶς ἐπὶ σοί ἐστι, καὶ τῇ παρούσῃ συμβάσει θεοσεβῶς εὐαρεστεῖν, καὶ τοῖς παροῦσιν ἀνθρώποις κατὰ δικαιοσύνην προσφέρεσθαι, καὶ τῇ παρούσῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μή τι ἀκατάληπτον παρεισρυῇ.

νε'. Μὴ περιβλέπου ἀλλότρια ἡγεμονικὰ, ἀλλ' ἐκεῖ βλέπε κατ' εὐθὺ, ἐπὶ τί σε ἡ φύσις ὁδηγεῖ, ἥ τε τοῦ ὅλου διὰ τῶν συμβαινόντων σοι, καὶ ἡ σὴ διὰ τῶν πρακτέων ὑπὸ σοῦ. Πρακτέον δὲ ἑκάστῳ τὸ ἑξῆς τῇ κατασκευῇ· κατεσκεύασται δὲ τὰ μὲν λοιπὰ τῶν

λογικῶν ἕνεκεν, ὥσπερ καὶ ἐπὶ παντὸς ἄλλου τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ λογικὰ ἀλλήλων ἕνεκεν. Τὸ μὲν οὖν προηγούμενόν ἐν τῇ τοῦ ἀνθρώπου κατασκευῇ τὸ κοινωνικόν ἐστι. Δεύτερον δὲ τὸ ἀνένδοτον πρὸς τὰς σωματικὰς πείσεις· λογικῆς γὰρ καὶ νοερᾶς κινήσεως ἴδιον, περιορίζειν ἑαυτὴν, καὶ μήποτε ἡττᾶσθαι μήτε αἰσθητικῆς, μήτε ὁρμητικῆς κινήσεως· ζωώδεις γὰρ ἑκάτεραι· ἡ δὲ νοερὰ ἐθέλει πρωτιστεύειν, καὶ μὴ κατακρατεῖσθαι ὑπ᾽ ἐκείνων. Δικαίως γε· πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις. Τρίτον ἐν τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόπτωτον καὶ ἀνεξαπάτητον. Τούτων οὖν ἐχόμενον τὸ ἡγεμονικὸν εὐθεῖα περαινέτω, καὶ ἔχει τὰ ἑαυτοῦ.

νς΄. Ὡς ἀποτεθνηκότα δεῖ, καὶ μέχρι νῦν βεβιωκότα, τὸ λοιπὸν ἐκ τοῦ περιόντος ζῆσαι κατὰ τὴν φύσιν.

νζ΄. Μόνον φιλεῖν τὸ ἑαυτῷ συμβαῖνον καὶ συγκλωθόμενον. Τί γὰρ ἁρμοδιώτερον;

νη΄. Ἐφ᾽ ἑκάστου συμβάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέβαινεν, ἔπειτα ἤχθοντο, ἐξενίζοντο, ἐμέμφοντο· νῦν οὖν ἐκεῖνοι ποῦ; οὐδαμοῦ· τί οὖν καὶ σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας τροπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις; αὐτὸς δὲ περὶ τὸ πῶς χρῆσθαι αὐτοῖς ὅλος γίνεσθαι; χρήσῃ γὰρ καλῶς· καὶ ὕλη σου ἔσται· μόνον πρόσεχε, καὶ θέλε σεαυτῷ καλὸς εἶναι ἐπὶ παντὸς, οὗ πράσσεις· καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ἐφ᾽ οὗ ἡ πρᾶξις.

νθ΄. Ἔνδον βλέπε. Ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ, καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς.

ξ'. Δεῖ καὶ τὸ σῶμα πεπηγέναι, καὶ μὴ διεῤῥίφθαι, μήτε ἐν κινήσει, μήτε ἐν σχέσει. Οἷον γάρ τι ἐπὶ τοῦ προσώπου παρέχεται ἡ διάνοια, συνετὸν αὐτὸ καὶ εὔσχημον συντηροῦσα, τοιοῦτο καὶ ἐπὶ ὅλου τοῦ σώματος ἀπαιτητέον. Πάντα δὲ ταῦτα σὺν τῷ ἀνεπιτηδεύτῳ φυλακτέα.

ξά. Ἡ βιωτικὴ τῇ παλαιστικῇ ὁμοιοτέρα, ἤπερ τῇ ὀρχηστικῇ, κατὰ τὸ πρὸς τὰ ἐμπίπτοντα, καὶ οὐ προεγνωσμένα, ἕτοιμος καὶ ἀπτὼς ἑστάναι.

ξβ'. Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι, ὑφ' ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν. Οὔτε γὰρ μέμψῃ τοῖς ἀκουσίως πταίουσιν, οὔτε ἐπιμαρτυρήσεως δεήσῃ, ἐμβλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῶν.

ξγ'. Πᾶσα ψυχή, φησίν, ἄκουσα στέρεται ἀληθείας· οὕτως οὖν καὶ δικαιοσύνης, καὶ σωφροσύνης, καὶ εὐμενείας, καὶ παντός τοῦ τοιούτου. Ἀναγκαιότατον δὲ τὸ διηνεκῶς τούτου μεμνῆσθαι· ἔσῃ γὰρ πρὸς πάντας πρᾳότερος.

ξδ'. Ἐπὶ μὲν παντὸς πόνου πρόχειρον ἔστω, ὅτι οὐκ αἰσχρὸν, οὐδὲ τὴν διάνοιαν τὴν κυβερνῶσαν χείρω ποιεῖ· οὔτε γάρ, καθὸ ὑλική ἐστιν, οὔτε καθὸ κοινωνική, διαφθείρει αὐτήν· ἐπὶ μέντοι τῶν πλείστων πόνων καὶ τὸ τοῦ Ἐπικούρου σοι βοηθείτω, ὅτι οὔτε ἀφόρητον, οὔτε αἰώνιον, ἐὰν τῶν ὅρων μνημονεύῃς, καὶ μὴ προσδοξάζῃς· κἀκείνου δὲ μέμνησο, ὅτι πολλά, πόνῳ τὰ αὐτὰ ὄντα, λανθάνει δυσχεραινόμενα, οἷον τὸ νυστάζειν, καὶ τὸ καυματίζεσθαι,

καὶ τὸ ἀνορεκτεῖν· ὅταν οὖν τινι τούτων δυσαρεστῇς, λέγε ἑαυτῷ, ὅτι πόνῳ ἐνδίδως.

ξε. Ὅρα, μήποτέ (τι) τοιοῦτον πάθῃς πρὸς τοὺς ἀπανθρώπους, οἷον οἱ ἄνθρωποι πρὸς τοὺς ἀνθρώπους.

ξϛ'. Πόθεν ἴσμεν, εἰ μὴ Τηλαύγης Σωκράτους τὴν διάθεσιν κρείσσων ἦν· οὐ γὰρ ἀρκεῖ, εἰ Σωκράτης ἐνδοξότερον ἀπέθανε, καὶ ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο, καὶ καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευεν, καὶ τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν, γεννικώτερον ἔδοξεν ἀντιβῆναι, καὶ ἐν ταῖς ὁδοῖς ἐβρενθύετο· περὶ οὗ καὶ μάλιστ' ἄν τις ἐπιστήσειεν, εἴπερ ἀληθὲς ἦν· ἀλλ' ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ τὴν ψυχὴν εἶχε Σωκράτης, καὶ εἰ ἐδύνατο ἀρκεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους, καὶ ὅσιος τὰ πρὸς θεοὺς, μήτε εἰκῇ πρὸς τὴν κακίαν ἀγανακτῶν, μηδὲ μὴν δουλεύων τινὸς ἀγνοίᾳ, μήτε τῶν ἀπονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δεχόμενος, ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ σαρκιδίου πάθεσιν ἐμπαρέχων συμπαθῆ τὸν νοῦν.

ξζ'. Ἡ φύσις οὐχ οὕτως συνεκέρασέ (σε) τῷ συγκρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτὸν, καὶ τὰ ἑαυτοῦ ὑφ' ἑαυτῷ ποιεῖσθαι· λίαν γὰρ ἐνδέχεται θεῖον ἄνδρα γενέσθαι, καὶ ὑπὸ μηδενὸς γνωρισθῆναι. Τούτου μέμνησο ἀεὶ, καὶ ἔτι ἐκείνου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶσαι. Καὶ μὴ, ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυσικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπογνῷς, καὶ ἐλεύθερος, καὶ αἰδήμων, καὶ κοινωνικὸς, καὶ εὐπειθὴς Θεῷ.

ξή. Ἀβιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάντες καταβοῶσιν ἅτινα βούλονται, κἂν τὰ θηρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου τούτου φυράματος. Τί γὰρ κωλύει, ἐν πᾶσι τούτοις τὴν διάνοιαν σώζειν ἑαυτὴν ἐν γαλήνῃ, καὶ κρίσει περὶ τῶν περιεστηκότων ἀληθεῖ, καὶ χρήσει τῶν ὑποβεβλημένων ἑτοίμῃ; ὥστε τὴν μὲν κρίσιν λέγειν τῷ προσπίπτοντι, Τοῦτο ὑπάρχεις κατ' οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φαίνῃ· τὴν δὲ χρῆσιν λέγειν τῷ ὑποπίπτοντι, Σὲ ἐζήτουν· ἀεὶ γάρ μοι τὸ παρὸν ὕλη ἀρετῆς λογικῆς καὶ πολιτικῆς, καὶ τὸ σύνολον τέχνης ἀνθρώπου, ἢ θεοῦ. Πᾶν γὰρ τὸ συμβαῖνον, θεῷ, ἢ ἀνθρώπῳ ἐξοικειοῦται, καὶ οὔτε καινὸν, οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώριμον καὶ εὐεργές.

ξθ'. Τοῦτο ἔχει ἡ τελειότης τοῦ ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξάγειν, καὶ μήτε σφύζειν, μήτε ναρκᾷν, μήτε ὑποκρίνεσθαι.

ό. Οἱ θεοὶ, ἀθάνατοι ὄντες, οὐ δυσχεραίνουσιν, ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς πάντως ἀεὶ τοιούτων ὄντων καὶ τοσούτων φαύλων ἀνέχεσθαι· προσέτι δὲ καὶ κήδονται αὐτῶν παντοίως. Σὺ δὲ, ὅσον οὐδέπω λήγειν μέλλων, ἀπαυδᾷς; καὶ ταῦτα, εἷς ὢν τῶν φαύλων;

οά. Γελοῖόν ἐστι, τὴν μὲν ἰδίαν κακίαν μὴ φεύγειν, ὃ καὶ δυνατόν ἐστι· τὴν δὲ τῶν ἄλλων φεύγειν, ὅπερ ἀδύνατον.

οβ'. Ὃ ἂν ἡ λογικὴ καὶ πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νοερὸν, μήτε κοινωνικὸν, εὐλόγως καταδεέστερον ἑαυτῆς κρίνει·

καὶ ἐκεῖ φέρειν. Πάντα τροπαί· οὐχ ὥστε φοβηθῆναι, μή τι καινόν· πάντα συνήθη· ἀλλὰ καὶ ἴσαι αἱ ἀπονεμήσεις.

ζ. Ἀρκεῖται πᾶσα φύσις ἑαυτῇ εὐοδούσῃ· φύσις δὲ λογικὴ εὐοδεῖ, ἐν μὲν φαντασίαις, μήτε ψευδεῖ, μήτε ἀδήλῳ συγκατατιθεμένη· τὰς ὁρμὰς δὲ ἐπὶ τὰ κοινωνικὰ ἔργα μόνα ἀπευθύνουσα· τὰς ὀρέξεις δὲ καὶ ἐκκλίσεις τῶν ἐφ᾽ ἡμῖν μόνον πεποιημένη· τὸ δὲ ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμόμενον πᾶν ἀσπαζομένη. Μέρος γὰρ αὐτῆς ἐστιν, ὡς ἡ τοῦ φύλλου φύσις τῆς τοῦ φυτοῦ φύσεως· πλὴν ὅτι ἐκεῖ μὲν ἡ τοῦ φύλλου φύσις μέρος ἐστὶ φύσεως καὶ ἀναισθήτου καὶ ἀλόγου, καὶ ἐμποδίζεσθαι δυναμένης, ἡ δὲ τοῦ ἀνθρώπου φύσις μέρος ἐστὶν ἀνεμποδίστου φύσεως καὶ νοερᾶς καὶ δικαίας· εἴγε ἴσους καὶ κατ᾽ ἀξίαν τοὺς μερισμοὺς χρόνων, οὐσίας, αἰτίου, ἐνεργείας, συμβάσεως, ἑκάστοις ποιεῖται. σκόπει δὲ, μὴ εἰ τὸ πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντός, ἀλλὰ εἰ συλλήβδην τὰ πάντα τοῦδε πρὸς ἀθρόα τὰ τοῦ ἑτέρου.

η. Ἀναγινώσκειν οὐκ ἔξεστιν. Ἀλλὰ ὕβριν ἀνείργειν ἔξεστιν· ἀλλὰ ἡδονῶν καὶ πόνων καθυπερτέρειν ἔξεστιν· ἀλλὰ τοῦ δοξαρίου ὑπεράνω εἶναι ἔξεστιν· ἀλλὰ ἀναισθήτοις καὶ ἀχαρίστοις μὴ θυμοῦσθαι, προσέτι κήδεσθαι αὐτῶν, ἔξεστιν.

θ. Μηκέτι σου μηδεὶς ἀκούσῃ καταμεμφομένου τὸν ἐν αὐλῇ βίον, μηδὲ τὸν σεαυτοῦ.

ι. Ἡ μετάνοιά ἐστιν ἐπίληψίς τις ἑαυτοῦ, ὡς χρήσιμόν τι παρεικότος· τὸ δὲ ἀγαθὸν χρήσιμόν τι δεῖ εἶναι, καὶ ἐπιμελητέον αὐτοῦ τῷ καλῷ κἀγαθῷ ἀνδρί·

οὐδεὶς δ' ἂν καλὸς καὶ ἀγαθὸς ἀνὴρ μετανοήσειεν, ἐπὶ τῷ ἡδονήν τινα παρεικέναι· οὔτε ἄρα χρήσιμον, οὔτε ἀγαθὸν ἡδονή.

ια΄. Τοῦτο τί ἐστιν αὐτὸ καθ' ἑαυτὸ τῇ ἰδίᾳ κατασκευῇ; τί μὲν τὸ οὐσιῶδες αὐτοῦ καὶ ὑλικόν; τί δὲ τὸ αἰτιῶδες; τί δὲ ποιεῖ ἐν τῷ κόσμῳ; πόσον δὲ χρόνον ὑφίσταται;

ιβ΄. Ὅταν ἐξ ὕπνου δυσχερῶς ἐγείρῃ, ἀναμιμνήσκου, ὅτι κατὰ τὴν κατασκευήν σου ἐστὶ, καὶ κατὰ τὴν ἀνθρωπικὴν φύσιν, τὸ πράξεις κοινωνικὰς ἀποδιδόναι, τὸ δὲ καθεύδειν, κοινὸν καὶ τῶν ἀλόγων ζώων· ὃ δὲ κατὰ φύσιν ἑκάστῳ, τοῦτο οἰκειότερον καὶ προσφυέστερον, καὶ δὴ καὶ προσηνέστερον.

ιγ΄. Διηνεκῶς καὶ ἐπὶ πάσης, εἰ οἷόν τε, φαντασίας φυσιολογεῖν, παθολογεῖν, διαλεκτικεύεσθαι.

ιδ΄. Ὧι ἂν ἐντυγχάνῃς, εὐθὺς σαυτῷ πρόλεγε· οὗτος τίνα δόγματα ἔχει περὶ ἀγαθῶν καὶ κακῶν; εἰ γὰρ περὶ ἡδονῆς καὶ πόνου, καὶ τῶν ποιητικῶν ἑκατέρου, καὶ περὶ δόξης, ἀδοξίας, θανάτου, ζωῆς, τοιάδε τινὰ δόγματα ἔχει, οὐδὲν θαυμαστὸν, ἢ ξένον μοι δόξει, ἐὰν τάδε τινὰ ποιῇ· καὶ μεμνήσομαι, ὅτι ἀναγκάζεται οὕτως ποιεῖν.

ιε΄. Μέμνησο, ὅτι, ὥσπερ αἰσχρόν ἐστι ξενίζεσθαι, εἰ ἡ συκῆ σῦκα φέρει, οὕτως, εἰ ὁ κόσμος τάδε τινὰ φέρει, ὧν ἐστι φορός· καὶ ἰατρῷ δὲ καὶ κυβερνήτῃ αἰσχρὸν ξενίζεσθαι, εἰ πεπύρεχεν οὗτος, ἢ εἰ ἀντίπνοια γέγονεν.

ιϛ΄. Μέμνησο, ὅτι καὶ τὸ μετατίθεσθαι καὶ ἕπεσθαι τῷ διορθοῦντι ὁμοίως ἐλεύθερόν ἐστι. Σὴ γὰρ

ροσπαστίαν. Περίγραψον τὸ ἐνεστὼς τοῦ χρόνου. Γνώρισον τὸ συμβαῖνον, ἢ σοὶ, ἢ ἄλλῳ. Δίελε καὶ μέρισον τὸ ὑποκείμενον εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. Ἐννόησον τὴν ἐσχάτην ὥραν. Τὸ ἐκείνῳ ἁμαρτηθὲν ἐκεῖ κατάλιπε, ὅπου ἡ ἁμαρτία ὑπέστη.

λ'. Συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. Εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ γινόμενα καὶ ποιοῦντα.

λά. Φαίδρυνον σεαυτὸν ἁπλότητι καὶ αἰδοῖ καὶ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας ἀδιαφορίᾳ. Φίλησον τὸ ἀνθρώπινον γένος. Ἀκολούθησον θεῷ. Ἐκεῖνος μέν φησιν, ὅτι Πάντα νομιστί. Ἔτι εἰ δαίμονα τὰ στοιχεῖα· ἀρκεῖ δὲ μεμνῆσθαι, ὅτι τὰ πάντα νομιστὶ ἔχει· ἤδη λίαν ὀλίγα.

λβ'. Περὶ θανάτου· εἰ σκεδασμὸς, ἢ ἄτομοι, ἢ κένωσίς, ἤτοι σβέσις, ἢ μετάστασις.

λγ'. Περὶ πόνου· τὸ μὲν ἀφόρητον ἐξάγει· τὸ δὲ χρονίζον, φορητόν· καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ, καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονε. Τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ τι δύναται, περὶ αὐτοῦ ἀποφηνάσθω.

λδ'. Περὶ δόξης· ἴδε τὰς διανοίας αὐτῶν, οἷαι, καὶ οἷα μὲν φεύγουσαι, οἷα δὲ διώκουσαι. Καὶ ὅτι, ὡς αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφορούμεναι κρύπτουσι τὰς προτέρας, οὕτως ἐν τῷ βίῳ τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη.

λέ. [Πλατωνικόν]. „Ὧι οὖν ὑπάρχει διάνοια με„γαλοπρεπὴς, καὶ θεωρία παντὸς μὲν χρόνου, πά„σης δὲ οὐσίας, ἆρα (οἷόν τε) οἴει τούτῳ μέγα τι „δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; Ἀδύνατον, ἢ

„δ᾽ ὅς. Οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται „ὁ τοιοῦτος. Ἥκιστά γε".

λϛ΄. [Ἀντισθενικόν]. „Βασιλικὸν, εὖ μὲν πράττειν, „κακῶς δὲ ἀκούειν".

λζ΄. Αἰσχρόν ἐστι, τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι καὶ σχηματίζεσθαι, καὶ κατακοσμεῖσθαι, ὡς κελεύει ἡ διάνοια, αὐτὴν δ᾽ ὑφ᾽ ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι.

λή. Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδέν.
λθ΄. Ἀθανάτοις τε θεοῖς καὶ ἡμῖν χάρματα δοίης!
μ΄. Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν,
Καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή.
μά. Εἰ δ᾽ ἠμελήθην ἐκ θεῶν καὶ παῖδ᾽ ἐμώ,
Ἔχει λόγον καὶ τοῦτο.
μβ΄. Τὸ γὰρ εὖ μετ᾽ ἐμοῦ καὶ τὸ δίκαιον.
μγ΄. Μὴ συνεπιθρηνεῖν, μὴ σφύζειν.

μδ΄. [Πλατωνικά]. „Ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λό„γον ἀντείποιμι· ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, „εἰ οἴει, δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ „τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός „(ἐστιν)· ἀλλ᾽ οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράτ„τῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς „ἀγαθοῦ ἔργα ἢ κακοῦ".

μέ. „Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀλη„θείᾳ, οὗ ἄν τις αὑτὸν τάξῃ ἡγησάμενος βέλτιστον „εἶναι, ἢ ὑπ᾽ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ „δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, „μήτε θάνατον, μήτε ἄλλο (τι) μηδὲν πρὸ τοῦ αἰ„σχροῦ".

μς΄. „Ἀλλ᾽, ὦ μακάριε, ὅρα, μὴ ἄλλο τι τὸ γενναῖον, καὶ τὸ ἀγαθὸν ᾖ, ἢ τὸ σώζειν τε καὶ σώζεσθαι· μὴ γὰρ τοῦτο μὲν, τὸ ζῆν ὁποσονδὴ χρόνον, „τόν γε ὡς ἀληθῶς ἄνδρα, ἐατέον ἐστὶ, καὶ οὐ φιλοψυχητέον, ἀλλ᾽ ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ, „καὶ πιστεύσαντα ταῖς γυναιξὶν, ὅτι τὴν εἱμαρμένην „οὐδ᾽ ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον, τίνα „ἂν τρόπον, τοῦτον, ὃν μέλλει χρόνον βιῶναι, ὡς „ἄριστα βιώη".

μζ΄. Περισκοπεῖν ἄστρων δρόμους, ὥσπερ συμπεριθέοντα· καὶ τὰς τῶν στοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν. Ἀποκαθαίρουσι γὰρ αἱ τούτων φαντασίαι τὸν ῥύπον τοῦ χαμαὶ βίου.

μη΄. Καλὸν τὸ τοῦ Πλάτωνος. Καὶ δὴ περὶ ἀνθρώπων τοὺς λόγους ποιούμενον, ἐπισκοπεῖν δεῖ καὶ τὰ ἐπίγεια, ὥσπερ ποθὲν ἄνωθεν, κατὰ ἀγέλας, στρατεύματα, γεώργια, γάμους, διαλύσεις, γενέσεις, θανάτους, δικαστηρίων θόρυβον, ἐρήμους χώρας, βαρβάρων ἔθνη ποικίλα, ἑορτὰς, θρήνους, ἀγορὰς, τὸ παμμιγὲς, καὶ τὸ ἐκ τῶν ἐναντίων συγκοσμούμενον.

μθ΄. Τὰ προγεγονότα ἀναθεωρεῖν· τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολάς. Ἔξεστι καὶ τὰ ἐσόμενα προεφορᾶν. Ὁμοειδῆ γὰρ πάντως ἔσται, καὶ οὐχ οἷόν τε ἐκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομένων· ὅθεν καὶ ἴσον, τὸ τεσσαράκοντα ἔτεσιν ἱστορῆσαι τὸν ἀνθρώπινον βίον, τῷ ἐπὶ ἔτη μύρια. Τί γὰρ πλέον ὄψει;

ν΄. Καὶ τὰ ἐκ γῆς μὲν

Φύντ' εἰς γαῖαν· τὰ δ' ἀπ' αἰθερίου
Βλαστόντα γονῆς εἰς οὐράνιον
Πόλον ἦλθε πάλιν.

Ἢ τοῦτο διάλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν στοιχείων.

να'. Καὶ

Σίτοισι καὶ ποτοῖσι καὶ μαγεύμασι
Παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν.

. . . .

Θεόθεν δὲ πνέοντ' οὖρον
Ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις.

νβ'. Καββαλικώτερος, ἀλλ' οὐχὶ κοινωνικώτερος, οὐδὲ αἰδημονέστερος, οὐδὲ εὐμενέστερος πρὸς τὰ τῶν πλησίον παροράματα.

νγ'. Ὅπου ἔργον ἐπιτελεῖσθαι δύναται κατὰ τὸν κοινὸν θεοῖς καὶ ἀνθρώποις λόγον, ἐκεῖ οὐδὲν δεινόν· ὅπου γὰρ ὠφελείας τυχεῖν ἔξεστι διὰ τῆς εὐοδούσης καὶ κατὰ τὴν κατασκευὴν προϊούσης ἐνεργείας, ἐκεῖ οὐδεμίαν βλάβην ὑφορατέον.

νδ'. Πανταχοῦ καὶ διηνεκῶς ἐπὶ σοί ἐστι, καὶ τῇ παρούσῃ συμβάσει θεοσεβῶς εὐαρεστεῖν, καὶ τοῖς παροῦσιν ἀνθρώποις κατὰ δικαιοσύνην προσφέρεσθαι, καὶ τῇ παρούσῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μή τι ἀκατάληπτον παρεισρυῇ.

νε'. Μὴ περιβλέπου ἀλλότρια ἡγεμονικὰ, ἀλλ' ἐκεῖ βλέπε κατ' εὐθὺ, ἐπὶ τί σε ἡ φύσις ὁδηγεῖ, ἥ τε τοῦ ὅλου διὰ τῶν συμβαινόντων σοι, καὶ ἡ σὴ διὰ τῶν πρακτέων ὑπὸ σοῦ. Πρακτέον δὲ ἑκάστῳ τὸ ἑξῆς τῇ κατασκευῇ· κατεσκεύασται δὲ τὰ μὲν λοιπὰ τῶν

λογικῶν ἕνεκεν, ὥσπερ καὶ ἐπὶ παντὸς ἄλλου τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ λογικὰ ἀλλήλων ἕνεκεν. Τὸ μὲν οὖν προηγούμενόν ἐν τῇ τοῦ ἀνθρώπου κατασκευῇ τὸ κοινωνικόν ἐστι. Δεύτερον δὲ τὸ ἀνένδοτον πρὸς τὰς σωματικὰς πεῖσεις· λογικῆς γὰρ καὶ νοερᾶς κινήσεως ἴδιον, περιορίζειν ἑαυτὴν, καὶ μήποτε ἡττᾶσθαι μήτε αἰσθητικῆς, μήτε ὁρμητικῆς κινήσεως· ζωώδεις γὰρ ἑκάτεραι· ἡ δὲ νοερὰ ἐθέλει πρωτιστεύειν, καὶ μὴ κατακρατεῖσθαι ὑπ᾽ ἐκείνων. Δικαίως γε· πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις. Τρίτον ἐν τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόπτωτον καὶ ἀνεξαπάτητον. Τούτων οὖν ἐχόμενον τὸ ἡγεμονικὸν εὐθέα περαινέτω, καὶ ἔχει τὰ ἑαυτοῦ.

νς΄. Ὡς ἀποτεθνηκότα δεῖ, καὶ μέχρι νῦν βεβιωκότα, τὸ λοιπὸν ἐκ τοῦ περιόντος ζῆσαι κατὰ τὴν φύσιν.

νζ΄. Μόνον φιλεῖν τὸ ἑαυτῷ συμβαῖνον καὶ συγκλωθόμενον. Τί γὰρ ἁρμοδιώτερον;

νη΄. Ἐφ᾽ ἑκάστου συμβάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέβαινεν, ἔπειτα ἤχθοντο, ἐξενίζοντο, ἐμέμφοντο· νῦν οὖν ἐκεῖνοι ποῦ; οὐδαμοῦ· τί οὖν καὶ σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας τροπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις; αὐτὸς δὲ περὶ τὸ πῶς χρῆσθαι αὐτοῖς ὅλος γίνεσθαι; χρήσῃ γὰρ καλῶς· καὶ ὕλη σου ἔσται· μόνον πρόσεχε, καὶ θέλε σεαυτῷ καλὸς εἶναι ἐπὶ παντὸς, οὗ πράσσεις· καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ἐφ᾽ οὗ ἡ πρᾶξις.

νθ΄. Ἔνδον βλέπε. Ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ, καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς.

ξ'. Δεῖ καὶ τὸ σῶμα πεπηγέναι, καὶ μὴ διεῤῥίφθαι, μήτε ἐν κινήσει, μήτε ἐν σχέσει. Οἷον γάρ τι ἐπὶ τοῦ προσώπου παρέχεται ἡ διάνοια, συνετὸν αὐτὸ καὶ εὔσχημον συντηροῦσα, τοιοῦτο καὶ ἐπὶ ὅλου τοῦ σώματος ἀπαιτητέον. Πάντα δὲ ταῦτα σὺν τῷ ἀνεπιτηδεύτῳ φυλακτέα.

ξά. Ἡ βιωτικὴ τῇ παλαιστικῇ ὁμοιοτέρα, ἤπερ τῇ ὀρχηστικῇ, κατὰ τὸ πρὸς τὰ ἐμπίπτοντα, καὶ οὐ προεγνωσμένα, ἕτοιμος καὶ ἀπτὼς ἑστάναι.

ξβ'. Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι, ὑφ᾽ ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν. Οὔτε γὰρ μέμψῃ τοῖς ἀκουσίως πταίουσιν, οὔτε ἐπιμαρτυρήσεως δεήσῃ, ἐμβλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῶν.

ξγ'. Πᾶσα ψυχὴ, φησὶν, ἄκουσα στέρεται ἀληθείας· οὕτως οὖν καὶ δικαιοσύνης, καὶ σωφροσύνης, καὶ εὐμενείας, καὶ παντὸς τοῦ τοιούτου. Ἀναγκαιότατον δὲ τὸ διηνεκῶς τούτου μεμνῆσθαι· ἔσῃ γὰρ πρὸς πάντας πρᾳότερος.

ξδ'. Ἐπὶ μὲν παντὸς πόνου πρόχειρον ἔστω, ὅτι οὐκ αἰσχρὸν, οὐδὲ τὴν διάνοιαν τὴν κυβερνῶσαν χείρω ποιεῖ· οὔτε γὰρ, καθὸ ὑλική ἐστιν, οὔτε καθὸ κοινωνική, διαφθείρει αὐτήν· ἐπὶ μέντοι τῶν πλείστων πόνων καὶ τὸ τοῦ Ἐπικούρου σοὶ βοηθείτω, ὅτι οὔτε ἀφόρητον, οὔτε αἰώνιον, ἐὰν τῶν ὅρων μνημονεύῃς, καὶ μὴ προσδοξάζῃς· κἀκείνου δὲ μέμνησο, ὅτι πολλὰ, πόνῳ τὰ αὐτὰ ὄντα, λανθάνει δυσχεραινόμενα, οἷον τὸ νυστάζειν, καὶ τὸ καυματίζεσθαι,

καὶ τὸ ἀνορεκτεῖν· ὅταν οὖν τινι τούτων δυσαρεστῇς, λέγε ἑαυτῷ, ὅτι πόνῳ ἐνδίδως.

ξε. Ὅρα, μήποτέ (τι) τοιοῦτον πάθῃς πρὸς τοὺς ἀπανθρώπους, οἷον οἱ ἄνθρωποι πρὸς τοὺς ἀνθρώπους.

ξϛʹ. Πόθεν ἴσμεν, εἰ μὴ Τηλαύγης Σωκράτους τὴν διάθεσιν κρείσσων ἦν· οὐ γὰρ ἀρκεῖ, εἰ Σωκράτης ἐνδοξότερον ἀπέθανε, καὶ ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο, καὶ καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευεν, καὶ τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν, γεννικώτερον ἔδοξεν ἀντιβῆναι, καὶ ἐν ταῖς ὁδοῖς ἐβρενθύετο· περὶ οὗ καὶ μάλιστ᾽ ἄν τις ἐπιστήσειεν, εἴπερ ἀληθὲς ἦν· ἀλλ᾽ ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ τὴν ψυχὴν εἶχε Σωκράτης, καὶ εἰ ἐδύνατο ἀρκεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους, καὶ ὅσιος τὰ πρὸς θεούς, μήτε εἰκῇ πρὸς τὴν κακίαν ἀγανακτῶν, μηδὲ μὴν δουλεύων τινὸς ἀγνοίᾳ, μήτε τῶν ἀπονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δεχόμενος, ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ σαρκιδίου πάθεσιν ἐμπαρέχων συμπαθῇ τὸν νοῦν.

ξζʹ. Ἡ φύσις οὐχ οὕτως συνεκέρασέ (σε) τῷ συγκρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτόν, καὶ τὰ ἑαυτοῦ ὑφ᾽ ἑαυτῷ ποιεῖσθαι· λίαν γὰρ ἐνδέχεται θεῖον ἄνδρα γενέσθαι, καὶ ὑπὸ μηδενὸς γνωρισθῆναι. Τούτου μέμνησο ἀεί, καὶ ἔτι ἐκείνου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶσαι. Καὶ μή, ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυσικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπογνῷς, καὶ ἐλεύθερος, καὶ αἰδήμων, καὶ κοινωνικός, καὶ εὐπειθὴς Θεῷ.

ξή. Ἀβιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάντες καταβοῶσιν ἅτινα βούλονται, κἂν τὰ θηρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου τούτου φυράματος. Τί γὰρ κωλύει, ἐν πᾶσι τούτοις τὴν διάνοιαν σώζειν ἑαυτὴν ἐν γαλήνῃ, καὶ κρίσει περὶ τῶν περιεστηκότων ἀληθεῖ, καὶ χρήσει τῶν ὑποβεβλημένων ἑτοίμῃ; ὥστε τὴν μὲν κρίσιν λέγειν τῷ προσπίπτοντι, Τοῦτο ὑπάρχεις κατ' οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φαίνῃ· τὴν δὲ χρῆσιν λέγειν τῷ ὑποπίπτοντι, Σὲ ἐζήτουν· ἀεὶ γάρ μοι τὸ παρὸν ὕλη ἀρετῆς λογικῆς καὶ πολιτικῆς, καὶ τὸ σύνολον τέχνης ἀνθρώπου, ἢ θεοῦ. Πᾶν γὰρ τὸ συμβαῖνον, θεῷ, ἢ ἀνθρώπῳ ἐξοικειοῦται, καὶ οὔτε καινὸν, οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώριμον καὶ εὐεργές.

ξθ'. Τοῦτο ἔχει ἡ τελειότης τοῦ ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξάγειν, καὶ μήτε σφύζειν, μήτε ναρκᾶν, μήτε ὑποκρίνεσθαι.

ό. Οἱ θεοὶ, ἀθάνατοι ὄντες, οὐ δυσχεραίνουσιν, ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς πάντως ἀεὶ τοιούτων ὄντων καὶ τοσούτων φαύλων ἀνέχεσθαι· προσέτι δὲ καὶ κήδονται αὐτῶν παντοίως. Σὺ δὲ, ὅσον οὐδέπω λήγειν μέλλων, ἀπαυδᾷς; καὶ ταῦτα, εἷς ὢν τῶν φαύλων;

οά. Γελοῖόν ἐστι, τὴν μὲν ἰδίαν κακίαν μὴ φεύγειν, ὃ καὶ δυνατόν ἐστι· τὴν δὲ τῶν ἄλλων φεύγειν, ὅπερ ἀδύνατον.

οβ'. Ὃ ἂν ἡ λογικὴ καὶ πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νοερὸν, μήτε κοινωνικὸν, εὐλόγως καταδεέστερον ἑαυτῆς κρίνει·

ογʹ. Ὅταν σὺ εὖ πεποιηκὼς ἧς, καὶ ἄλλος εὖ πεπονθὼς, τί ἔτι ζητεῖς τρίτον παρὰ ταῦτα, ὥσπερ οἱ μωροὶ, τὸ καὶ δόξαι εὖ πεποιηκέναι, ἢ τὸ ἀμοιβῆς τυχεῖν;

οδʹ. Οὐδεὶς κάμνει ὠφελούμενος. Ὠφέλεια δὲ πρᾶξις κατὰ φύσιν. Μὴ οὖν κάμνε ὠφελούμενος, ἐν ᾧ ὠφελεῖς.

οεʹ. Ἡ τοῦ ὅλου φύσις ἐπὶ τὴν κοσμοποιΐαν ὥρμησε· νῦν δὲ ἤτοι πᾶν τὸ γινόμενον κατ᾽ ἐπακολούθησιν γίνεται, ἢ ἀλόγιστα καὶ τὰ κυριώτατά ἐστιν, ἐφ᾽ ἃ ποιεῖται ἰδίαν ὁρμὴν τὸ τοῦ κόσμου ἡγεμονικόν. Εἰς πολλά σε γαληνότερον ποιήσει τοῦτο μνημονευόμενον.

ΒΙΒΛΙΟΝ Η.

ΚΑΙ τοῦτο πρὸς τὸ ἀκενόδοξον φέρει, ὅτι οὐκ ἔτι δύνασαι τὸν βίον ὅλον, ἢ τόν γε ἀπὸ νεότητος, φιλόσοφον βεβιωκέναι· ἀλλὰ πολλοῖς τε ἄλλοις, καὶ αὐτὸς σεαυτῷ δῆλος γέγονας, πόῤῥω φιλοσοφίας ὤν. Πέφυρσαι οὖν· ὥστε τὴν μὲν δόξαν τὴν τοῦ φιλοσόφου κτήσασθαι, οὐκέτι σοι ῥᾴδιον· ἀνταγωνίζεται δὲ καὶ ἡ ὑπόθεσις. Εἴπερ οὖν ἀληθῶς ἑώρακας, ποῦ κεῖται τὸ πρᾶγμα, τὸ μὲν, τί δόξεις, ἄφες· ἀρκέσθητι δὲ, εἰ κἂν τὸ λοιπὸν τοῦ βίου, ὅσον δήποτε ἡ σὴ φύσις θέλει βιώσειν. Κατανόησον οὖν, τί θέλει, καὶ μηδὲν ἄλλο σε περισπάτω· πεπείρασαι γὰρ, περὶ πόσα πλανηθεὶς, οὐδαμοῦ εὗρες τὸ εὖ ζῆν. οὐκ ἐν συλλογισμοῖς, οὐκ ἐν πλούτῳ, οὐκ ἐν δόξῃ, οὐκ ἐν

ἀπολαύσει, οὐδαμοῦ. Ποῦ οὖν ἐστιν; ἐν τῷ ποιεῖν, ἃ ἐπιζητεῖ ἡ τοῦ ἀνθρώπου φύσις· πῶς οὖν ταῦτα ποιήσει; ἐὰν δόγματα ἔχῃ, ἀφ᾽ ὧν αἱ πράξεις. Τίνα δόγματα; τὰ περὶ ἀγαθῶν καὶ κακῶν· ὡς οὐδενὸς μὲν ἀγαθοῦ ὄντος ἀνθρώπῳ, ὃ οὐχὶ ποιεῖ δίκαιον, σώφρονα, ἀνδρεῖον, ἐλεύθερον, οὐδενὸς δὲ κακοῦ, ὃ οὐχὶ ποιεῖ τἀναντία τοῖς εἰρημένοις.

β΄. Καθ᾽ ἑκάστην πρᾶξιν ἐρώτα σεαυτόν, Πῶς μοι αὕτη ἔχει; μὴ μετανοήσω ἐπ᾽ αὐτῇ; μικρὸν καὶ τέθνηκα, καὶ πάντ᾽ ἐκ μέσου. Τί πλέον ἐπιζητῶ, εἰ τὸ παρὸν ἔργον ζώου νοεροῦ, καὶ κοινωνικοῦ καὶ ἰσονόμου θεῷ;

γ΄. Ἀλέξανδρος [δὲ] καὶ Γάϊος καὶ Πομπήϊος, τί πρὸς Διογένη καὶ Ἡράκλειτον καὶ Σωκράτην; Οἱ μὲν γὰρ εἶδον τὰ πράγματα, καὶ τὰς ὕλας, καὶ τὰ ἡγεμονικὰ ἦν αὐτῶν ταὐτά· ἐκεῖ δὲ ὅσων πρόνοια; καὶ δουλεία πόσων;

δ΄. Ὅτι οὐδὲν ἧττον τὰ αὐτὰ ποιήσουσι, κἂν σὺ διαῤῥαγῇς.

ε΄. Τὸ πρῶτον μὴ ταράσσου· πάντα γὰρ κατὰ τὴν τοῦ ὅλου φύσιν· καὶ ὀλίγου χρόνου οὐδεὶς οὐδαμοῦ ἔσῃ· ὥσπερ οὐδὲ Ἁδριανός, οὐδὲ Αὔγουστος. Ἔπειτα ἀτενίσας εἰς τὸ πρᾶγμα, ἴδε αὐτό, καὶ συμμνημονεύσας, ὅτι ἀγαθόν σε ἄνθρωπον εἶναι δεῖ, καὶ τί τοῦ ἀνθρώπου ἡ φύσις ἀπαιτεῖ, πρᾶξον τοῦτο ἀμετατρεπτί, καὶ εἰπέ, ὡς δικαιότατον φαίνεταί σοι· μόνον εὐμενῶς, καὶ αἰδημόνως, καὶ ἀνυποκρίτως.

ς΄. Ἡ τῶν ὅλων φύσις τοῦτο ἔργον ἔχει, τὰ ὧδε ὄντα ἐκεῖ μετατιθέναι, μεταβάλλειν, αἴρειν ἔνθεν,

καὶ ἐκεῖ φέρειν. Πάντα τροπαί· οὐχ ὥστε φοβηθῆναι, μή τι καινόν· πάντα συνήθη· ἀλλὰ καὶ ἴσαι αἱ ἀπονεμήσεις.

ζ. Ἀρκεῖται πᾶσα φύσις ἑαυτῇ εὐοδούσῃ· φύσις δὲ λογικὴ εὐοδεῖ, ἐν μὲν φαντασίαις, μήτε ψευδεῖ, μήτε ἀδήλῳ συγκατατιθεμένη· τὰς ὁρμὰς δὲ ἐπὶ τὰ κοινωνικὰ ἔργα μόνα ἀπευθύνουσα· τὰς ὀρέξεις δὲ καὶ ἐκκλίσεις τῶν ἐφ᾽ ἡμῖν μόνον πεποιημένη· τὸ δὲ ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμόμενον πᾶν ἀσπαζομένη. Μέρος γάρ αὐτῆς ἐστιν, ὡς ἡ τοῦ φύλλου φύσις τῆς τοῦ φυτοῦ φύσεως· πλὴν ὅτι ἐκεῖ μὲν ἡ τοῦ φύλλου φύσις μέρος ἐστὶ φύσεως καὶ ἀναισθήτου καὶ ἀλόγου, καὶ ἐμποδίζεσθαι δυναμένης, ἡ δὲ τοῦ ἀνθρώπου φύσις μέρος ἐστὶν ἀνεμποδίστου φύσεως καὶ νοερᾶς καὶ δικαίας· εἴγε ἴσους καὶ κατ᾽ ἀξίαν τοὺς μερισμοὺς χρόνων, οὐσίας, αἰτίου, ἐνεργείας, συμβάσεως, ἑκάστοις ποιεῖται. σκόπει δὲ, μὴ εἰ τὸ πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντὸς, ἀλλὰ εἰ συλλήβδην τὰ πάντα τοῦδε πρὸς ἀθρόα τὰ τοῦ ἑτέρου.

ή. Ἀναγινώσκειν οὐκ ἔξεστιν. Ἀλλὰ ὕβριν ἀνείργειν ἔξεστιν· ἀλλὰ ἡδονῶν καὶ πόνων καθυπερτερεῖν ἔξεστιν· ἀλλὰ τοῦ δοξαρίου ὑπεράνω εἶναι ἔξεστιν· ἀλλὰ ἀναισθήτοις καὶ ἀχαρίστοις μὴ θυμοῦσθαι, προσέτι κήδεσθαι αὐτῶν, ἔξεστιν.

θ΄. Μηκέτι σου μηδεὶς ἀκούσῃ καταμεμφομένου τὸν ἐν αὐλῇ βίον, μηδὲ τὸν σεαυτοῦ.

ί. Ἡ μετάνοιά ἐστιν ἐπίληψίς τις ἑαυτοῦ, ὡς χρήσιμόν τι παρεικότος· τὸ δὲ ἀγαθὸν χρήσιμόν τι δεῖ εἶναι, καὶ ἐπιμελητέον αὐτοῦ τῷ καλῷ κἀγαθῷ ἀνδρί·

οὐδεὶς δ᾽ ἂν καλὸς καὶ ἀγαθὸς ἀνὴρ μετανοήσειεν, ἐπὶ τῷ ἡδονήν τινα παρεικέναι· οὔτε ἄρα χρήσιμον, οὔτε ἀγαθὸν ἡδονή.

ια´. Τοῦτο τί ἐστιν αὐτὸ καθ᾽ ἑαυτὸ τῇ ἰδίᾳ κατασκευῇ; τί μὲν τὸ οὐσιῶδες αὐτοῦ καὶ ὑλικόν; τί δὲ τὸ αἰτιῶδες; τί δὲ ποιεῖ ἐν τῷ κόσμῳ; πόσον δὲ χρόνον ὑφίσταται;

ιβ´. Ὅταν ἐξ ὕπνου δυσχερῶς ἐγείρῃ, ἀναμιμνήσκου, ὅτι κατὰ τὴν κατασκευήν σου ἐστὶ, καὶ κατὰ τὴν ἀνθρωπικὴν φύσιν, τὸ πράξεις κοινωνικὰς ἀποδιδόναι, τὸ δὲ καθεύδειν, κοινὸν καὶ τῶν ἀλόγων ζώων· ὃ δὲ κατὰ φύσιν ἑκάστῳ, τοῦτο οἰκειότερον καὶ προσφυέστερον, καὶ δὴ καὶ προσηνέστερον.

ιγ´. Διηνεκῶς καὶ ἐπὶ πάσης, εἰ οἷόν τε, φαντασίας φυσιολογεῖν, παθολογεῖν, διαλεκτικεύεσθαι.

ιδ´. Ὧι ἂν ἐντυγχάνῃς, εὐθὺς σαυτῷ πρόλεγε· οὗτος τίνα δόγματα ἔχει περὶ ἀγαθῶν καὶ κακῶν; εἰ γὰρ περὶ ἡδονῆς καὶ πόνου, καὶ τῶν ποιητικῶν ἑκατέρου, καὶ περὶ δόξης, ἀδοξίας, θανάτου, ζωῆς, τοιάδε τινὰ δόγματα ἔχει, οὐδὲν θαυμαστὸν, ἢ ξένον μοι δόξει, ἐὰν τάδε τινὰ ποιῇ· καὶ μεμνήσομαι, ὅτι ἀναγκάζεται οὕτως ποιεῖν.

ιε´. Μέμνησο, ὅτι, ὥσπερ αἰσχρόν ἐστι ξενίζεσθαι, εἰ ἡ συκῆ σῦκα φέρει, οὕτως, εἰ ὁ κόσμος τάδε τινὰ φέρει, ὧν ἐστι φορός· καὶ ἰατρῷ δὲ καὶ κυβερνήτῃ αἰσχρὸν ξενίζεσθαι, εἰ πεπύρεχεν οὗτος, ἢ εἰ ἀντίπνοια γέγονεν.

ις´. Μέμνησο, ὅτι καὶ τὸ μετατίθεσθαι καὶ ἕπεσθαι τῷ διορθοῦντι ὁμοίως ἐλεύθερόν ἐστι. Σὴ γὰρ

ἐνέργεια κατὰ τὴν σὴν ὁρμὴν καὶ κρίσιν, καὶ δὴ καὶ κατὰ νοῦν τὸν σὸν περαινομένη.

ιζ. Εἰ μὲν ἐπὶ σοί, τί αὐτὸ ποιεῖς; εἰ δὲ ἐπ' ἄλλῳ, τίνι μέμφῃ; ταῖς ἀτόμοις, ἢ τοῖς θεοῖς; ἀμφότερα μανιώδη. Οὐδενὶ μεμπτέον. Εἰ μὲν γὰρ δύνασαι, διόρθωσον· εἰ δὲ τοῦτο μὴ δύνασαι, τό γε πρᾶγμα αὐτό· εἰ δὲ μηδὲ τοῦτο, πρὸς τί ἔτι σοι φέρει τὸ μέμψασθαι; εἰκῇ γὰρ οὐδὲν ποιητέον.

ιη. Ἔξω τοῦ κόσμου τὸ ἀποθανὸν οὐ πίπτει. Εἰ ὧδε μένει, καὶ μεταβάλλει ὧδε καὶ διαλύεται εἰς τὰ ἴδια, ἃ στοιχεῖά ἐστι τοῦ κόσμου καὶ σά. Καὶ αὐτὰ δὲ μεταβάλλει, καὶ οὐ γογγύζει.

ιθ'. Ἕκαστον πρός τι γέγονεν, ἵππος, ἄμπελος· τί θαυμάζεις; καὶ ὁ Ἥλιος ἐρεῖ, πρός τι ἔργον γέγονα, καὶ οἱ λοιποὶ θεοί. Σὺ οὖν πρὸς τί; τὸ ἥδεσθαι; ἴδε, εἰ ἀνέχεται ἡ ἔννοια.

κ'. Ἡ φύσις ἐστόχασται ἑκάστου, οὐδέν τι ἔλασσον τῆς ἀπολήξεως, ἢ τῆς ἀρχῆς τε καὶ διεξαγωγῆς, ὡς ὁ ἀναβάλλων τὴν σφαῖραν· τί οὖν ἀγαθὸν τῷ σφαιρίῳ ἀναφερομένῳ, ἢ κακὸν καταφερομένῳ, ἢ καὶ πεπτωκότι; τί δὲ ἀγαθὸν τῇ πομφόλυγι συνεστώσῃ, ἢ κακὸν διαλυθείσῃ; τὰ ὅμοια δὲ καὶ ἐπὶ λύχνου.

κα'. Ἔκστρεψον, καὶ θέασαι, οἷόν ἐστι, γηράσαν δὲ οἷον γίνεται, νοσῆσαν δὲ, πορνεῦσαν.

Βραχύβιον καὶ ὁ ἐπαινῶν καὶ ὁ ἐπαινούμενος, καὶ ὁ μνημονεύων, καὶ ὁ μνημονευόμενος. Προσέτι δὲ καὶ ἐν γωνίᾳ τούτου τοῦ κλίματος, καὶ οὐδὲ ἐνταῦθα πάντες συμφωνοῦσι, καὶ οὐδὲ αὐτός τις ἑαυτῷ· καὶ ὅλη δὲ ἡ γῆ στιγμή.

κβ'. Πρόσεχε τῷ ὑποκειμένῳ, ἢ τῷ δόγματι, ἢ τῇ ἐνεργείᾳ, ἢ τῷ σημαινομένῳ.

Δικαίως ταῦτα πάσχεις· μᾶλλον δὲ θέλεις ἀγαθὸς αὔριον γενέσθαι, ἢ σήμερον εἶναι.

κγ'. Πράσσω τι; πράσσω ἐπ' ἀνθρώπων εὐποιΐαν ἀναφέρων· συμβαίνει τί μοι; δέχομαι, ἐπὶ τοὺς θεοὺς ἀναφέρων, καὶ τὴν πάντων πηγὴν, ἀφ' ἧς πάντα τὰ γινόμενα συμμηρύεται.

κδ'. Ὁποῖόν σοι φαίνεται τὸ λούεσθαι, ἔλαιον, ἱδρὼς, ῥύπος, ὕδωρ γλοιῶδες, πάντα σικχαντά· τοιοῦτον πᾶν μέρος τοῦ βίου, καὶ πᾶν ὑποκείμενον.

κε'. Λούκιλλα Οὔηρον, εἶτα Λούκιλλα· Σέκουνδα Μάξιμον, εἶτα Σέκουνδα· Ἐπιτύγχανος Διότιμον, εἶτα Ἐπιτύγχανος· Φαυστίναν Ἀντωνῖνος, εἶτα Ἀντωνῖνος· Τοιαῦτα πάντα. Κέλερ Ἀδριανὸν, εἶτα Κέλερ. Οἱ δὲ δριμεῖς ἐκεῖνοι, ἢ προγνωστικοὶ, ἢ τετυφωμένοι, ποῦ; οἷον, δριμεῖς μὲν, Χάραξ καὶ Δημήτριος ὁ Πλατωνικὸς, καὶ Εὐδαίμων, καὶ εἴ τις τοιοῦτος. Πάντα ἐφήμερα, τεθνηκότα πάλαι· ἔνιοι μὲν οὐδὲ ἐπ' ὀλίγον μνημονευθέντες· οἱ δὲ εἰς μύθους μεταβαλόντες· οἱ δὲ ἤδη καὶ ἐκ μύθων ἐξίτηλοι. Τούτων οὖν μεμνῆσθαι, ὅτι δεήσει ἤτοι σκεδασθῆναι τὸ συγκριμάτιόν σου, ἢ σβεσθῆναι τὸ πνευμάτιον, ἢ μεταστῆναι, καὶ ἀλλαχοῦ καταταχθῆναι.

κς'. Εὐφροσύνη ἀνθρώπου, ποιεῖν τὰ ἴδια ἀνθρώπου. Ἴδιον δὲ ἀνθρώπου, εὔνοια πρὸς τὸ ὁμόφυλον ὑπερόρασις τῶν αἰσθητικῶν κινήσεων, διά-

κρισις τῶν πιθανῶν φαντασιῶν, ἐπιθεώρησις τῆς τῶν ὅλων φύσεως καὶ τῶν κατ᾽ αὐτὴν γινομένων·

κζ΄. Τρεῖς σχέσεις· ἡ μὲν πρὸς τὸ αἴτιον τὸ περικείμενον· ἡ δὲ πρὸς τὴν θείαν αἰτίαν, ἀφ᾽ ἧς συμβαίνει πᾶσι πάντα· ἡ δὲ πρὸς τοὺς συμβιοῦντας.

κή. Ὁ πόνος ἤτοι τῷ σώματι κακόν· οὐκοῦν ἀποφαινέσθω· ἢ τῇ ψυχῇ· ἀλλ᾽ ἔξεστιν αὐτῇ, τὴν ἰδίαν αἰθρίαν καὶ γαλήνην διαφυλάσσειν, καὶ μὴ ὑπολαμβάνειν, ὅτι κακόν. Πᾶσα γὰρ κρίσις, καὶ ὁρμή, καὶ ὄρεξις, καὶ ἔκκλισις, ἔνδον, καὶ οὐδὲν κακὸν ὧδε ἀναβαίνει.

κθ΄. Ἐξάλειφε τὰς φαντασίας, συνεχῶς σεαυτῷ λέγων· νῦν ἐπ᾽ ἐμοί ἐστιν, ἵνα ἐν ταύτῃ τῇ ψυχῇ μηδεμία πονηρία ᾖ, μηδὲ ἐπιθυμία, μηδὲ ὅλως ταραχή τις· ἀλλὰ βλέπων πάντα, ὁποῖά ἐστι, χρῶμαι ἑκάστῳ κατ᾽ ἀξίαν. Μέμνησο ταύτης τῆς ἐξουσίας κατὰ φύσιν.

λ΄. Λαλεῖν, καὶ ἐν συγκλήτῳ, καὶ πρὸς πάνθ᾽ ὁντινοῦν κοσμίως, μὴ περιτρανῶς· ὑγιεῖ λόγῳ χρῆσθαι.

λά. Αὐλὴ Αὐγούστου, γυνή, θυγάτηρ, ἔγγονοι, πρόγονοι, ἀδελφή, Ἀγρίππας, συγγενεῖς, οἰκεῖοι, φίλοι, Ἄρειος, Μαικήνας, ἰατροί, θύται· ὅλης αὐλῆς θάνατος. Εἶτα ἔπιθι τὰ ἄλλα, μὴ καθ᾽ ἑνὸς ἀνθρώπου θάνατον, οἷον Πομπηΐων· κἀκεῖνο δὲ τὸ ἐπιγραφόμενον τοῖς μνήμασιν, ἜΣΧΑΤΟΣ ΤΟΥ ἸΔΙΟΥ ΓΈΝΟΥΣ· ἐπιλογίζεσθαι, πόσα ἐσπάσθησαν οἱ πρὸ αὐτῶν, ἵνα διάδοχόν τινα καταλίπωσιν· εἶτα, ἀνάγκη ἔσχατόν τινα γενέσθαι· πάλιν ὧδε ὅλου γένους θάνατον.

λβ΄. Συντιθέναι δεῖ τὸν βίον κατὰ μίαν πρᾶξιν· καὶ εἰ ἑκάστη τὸ ἑαυτῆς παρέχει, ὡς οἷόν τε, ἀρκεῖσθαι· ἵνα δὲ τὸ ἑαυτῆς παρέχῃ, οὐδὲ εἷς σε κωλῦσαι δύναται. — Ἀλλ' ἐνστήσεταί τι ἔξωθεν. — Οὐδὲν εἴς γε τὸ δικαίως καὶ σωφρόνως καὶ εὐλογίστως· ἄλλο δέ τι ἴσως ἐνεργητικὸν κωλυθήσεται; ἀλλὰ τῇ πρὸς αὐτὸ τὸ κώλυμα εὐαρεστήσει, καὶ τῇ ἐπὶ τὸ διδόμενον εὐγνώμονι μεταβάσει, εὐθὺς ἄλλη πρᾶξις ἀντικαθίσταται, ἐναρμόζουσα εἰς τὴν σύνθεσιν, περὶ ἧς ὁ λόγος.

λγ΄. Ἀτύφως μὲν λαβεῖν, εὐλύτως δὲ ἀφεῖναι.

λδ΄. Εἴ ποτε εἶδες χεῖρα ἀποκεκομμένην, ἢ πόδα, ἢ κεφαλὴν [ἀποτετμημένην], χωρίς πού ποτε ἀπὸ τοῦ λοιποῦ σώματος κειμένην, τοιοῦτον ἑαυτὸν ποιεῖ, ὅσον ἐφ' ἑαυτῷ, ὁ μὴ θέλων τὸ συμβαῖνον, καὶ ἀποσχίζων ἑαυτὸν, ἢ ὁ ἀκοινώνητόν τι πράσσων. Ἀπέρριψαί πού ποτε ἀπὸ τῆς κατὰ φύσιν ἑνώσεως· ἐπεφύκεις γὰρ μέρος· νῦν δὲ σεαυτὸν ἀπέκοψας. Ἀλλ' ὧδε κομψὸν ἐκεῖνο, ὅτι ἔξεστί σοι πάλιν ἑνῶσαι σεαυτόν. Τοῦτο ἄλλῳ μέρει οὐδενὶ θεὸς ἐπέτρεψεν, χωρισθέντι καὶ διακοπέντι, πάλιν συνελθεῖν. Ἀλλὰ σκέψαι τὴν χρηστότητα, ᾗ τετίμηκε τὸν ἄνθρωπον· καὶ γὰρ ἵνα τὴν ἀρχὴν μὴ ἀποῤῥαγῇ ἀπὸ τοῦ ὅλου, ἐπ' αὐτῷ ἐποίησε· καὶ ἀποῤῥαγέντι πάλιν ἐπανελθεῖν, καὶ συμφῦναι, καὶ τὴν τοῦ μέρους τάξιν ἀπολαβεῖν ἐποίησεν.

λε΄. Ὥσπερ τὰς ἄλλας δυνάμεις ἕκαστος τῶν λογικῶν σχεδὸν ὅσον ἡ τῶν λογικῶν φύσις, οὕτως καὶ ταύτην παρ' αὐτῆς εἰλήφαμεν. Ὃν τρόπον γὰρ ἐκεί-

ἡ πᾶν τὸ ἐνιστάμενον καὶ ἀντιβαῖνον ἐπιπεριτρέπει, καὶ κατατάσσει εἰς τὴν εἱμαρμένην, καὶ μέρος αὐτῆς ποιεῖ, οὕτως καὶ τὸ λογικὸν ζῶον δύναται πᾶν κώλυμα ὕλην ἑαυτοῦ ποιεῖν, καὶ χρῆσθαι αὐτῷ, ἐφ᾿ οἷον ἂν καὶ ὥρμησε.

λϛ΄. Μή σε συγχείτω ἡ τοῦ ὅλου βίου φαντασία. Μὴ συμπερινόει, ἐπίπονα οἷα καὶ ὅσα πιθανὸν ἐπιγεγενῆσθαι· ἀλλὰ καθ᾿ ἕκαστον τῶν παρόντων ἐπερώτα σεαυτόν, Τί τοῦ ἔργου τὸ ἀφόρητον καὶ ἀνυποιστον; αἰσχυνθήσῃ γὰρ ὁμολογῆσαι. Ἔπειτα ἀναμίμνησκε σεαυτὸν, ὅτι οὔτε τὸ μέλλον, οὔτε τὸ παρῳχηκὸς βαρεῖ σε, ἀλλὰ ἀεὶ τὸ παρόν. Τοῦτο δὲ κατασμικρύνεται, ἐὰν αὐτὸ μόνον περιορίσῃς, καὶ ἀπελέγχῃς τὴν διάνοιαν, εἰ πρὸς τοῦτο ψιλὸν ἀντέχειν μὴ δύναται.

λζ΄. Μήτι νῦν παρακάθηται τῇ τοῦ κυρίου σορῷ Πάνθεια, ἢ Πέργαμος; τί δὲ, τῇ Ἀδριανοῦ Χαυρίας, ἢ Διότιμος; γελοῖον. Τί δὲ, εἰ παρεκάθηντο, ἔμελλον αἰσθάνεσθαι; τί δὲ, εἰ ᾐσθάνοντο, ἔμελλον ἡσθήσεσθαι; τί δὲ, εἰ ἥδοντο, ἔμελλον οὗτοι ἀθάνατοι εἶναι; Οὐ καὶ τούτους πρῶτον μὲν γραίας καὶ γέροντας γενέσθαι οὕτως εἵμαρτο, εἶτα ἀποθανεῖν; τί οὖν ὕστερον ἔμελλον ἐκεῖνοι ποιεῖν, τούτων ἀποθανόντων; Γράσος πᾶν τοῦτο καὶ λύθρος ἐν θυλάκῳ.

λή. Εἰ δύνασαι ὀξὺ βλέπειν, βλέπε, κρίνων, φησὶ, σοφωτάτοις.

λθ΄. Δικαιοσύνης κατεξαναστατικὴν ἀρετὴν οὐχ ὁρῶ ἐν τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ· ἡδονῆς δὲ ὁρῶ, τὴν ἐγκράτειαν.

μ'. Ἐὰν ἀφέλῃς τὴν σὴν ὑπόληψιν περὶ τοῦ λυπεῖν σε δοκοῦντος, αὐτὸς ἐν τῷ ἀσφαλεστάτῳ ἕστηκας. — Τίς αὐτός; — Ὁ λόγος. — Ἀλλ' οὐκ εἰμὶ λόγος. — Ἔστω. Οὐκοῦν ὁ μὲν λόγος αὐτὸς ἑαυτὸν μὴ λυπείτω. Εἰ δέ τι ἄλλο σοὶ κακῶς ἔχει, ὑπολαβέτω αὐτὸ περὶ αὐτοῦ.

μά. Ἐμποδισμὸς αἰσθήσεως, κακὸν ζωτικῆς φύσεως. Ἐμποδισμὸς ὁρμῆς, ὁμοίως κακὸν ζωτικῆς φύσεως. Ἔστι δέ τι ἄλλο ὁμοίως ἐμποδιστικὸν καὶ κακὸν τῆς φυτικῆς κατασκευῆς. Οὕτως τοίνυν ἐμποδισμὸς νοῦ, κακὸν νοερᾶς φύσεως. Πάντα δὴ ταῦτα ἐπὶ σεαυτὸν μετάφερε. Πόνος, (ἢ) ἡδονὴ ἅπτεταί σου; ὄψεται ἡ αἴσθησις. Ὁρμήσαντι ἔνστημα ἐγένετο; εἰ μὲν ἀνυπεξαιρέτως ὥρμας, ἤδη ὡς λογικοῦ κακόν. Εἰ δὲ τὸ κοινὸν λαμβάνεις, οὔπω βέβλαψαι, οὐδὲ ἐμπεπόδισαι. Τὰ μέντοι τοῦ νοῦ ἴδια οὐδεὶς ἄλλος εἴωθεν ἐμποδίζειν· τούτου γὰρ οὐ πῦρ, οὐ σίδηρος, οὐ τύραννος, οὐ βλασφημία, οὐχ ὁτιοῦν ἅπτεται· ὅταν γένηται σφαῖρος, κυκλοτερὴς μένει.

μβ'. Οὐκ εἰμὶ ἄξιος ἐμαυτὸν λυπεῖν· οὐδὲ γὰρ ἄλλον πώποτε ἑκὼν ἐλύπησα.

μγ'. Εὐφραίνει ἄλλον ἄλλο· ἐμὲ δὲ, ἐὰν ὑγιὲς ἔχω τὸ ἡγεμονικὸν, μὴ ἀποστρεφόμενον μήτε ἄνθρωπόν τινα, μήτε τι τῶν ἀνθρώποις συμβαινόντων· ἀλλὰ πᾶν εὐμενέσιν ὀφθαλμοῖς ὁρῶν τε καὶ δεχόμενον, καὶ χρώμενον ἑκάστῳ κατ' ἀξίαν.

μδ'. Τοῦτον ἰδοὺ τὸν χρόνον σεαυτῷ χάρισαι. Οἱ τὴν ὑστεροφημίαν μᾶλλον διώκοντες οὐ λογίζονται,

ὅτι ἄλλοι τοιοῦτοι μέλλουσιν ἐκεῖνοι εἶναι, οἷοί εισιν οὗτοι, οὓς βαροῦνται· κἀκεῖνοι δὲ θνητοί. Τί δὲ ὅλως πρὸς σὲ, ἂν ἐκεῖνοι φωναῖς τοιαύταις ἀπηχῶσιν, ἢ ὑπόληψιν τοιαύτην περὶ σοῦ ἔχωσιν;

με΄. Ἆρόν με καὶ βάλε, ὅπου θέλεις. Ἐκεῖ γὰρ ἕξω τὸν ἐμὸν δαίμονα ἵλεων, τοῦτ᾽ ἔστιν, ἀρκούμενον, εἰ ἔχοι καὶ ἐνεργοίη κατὰ τὸ ἑξῆς τῇ ἰδίᾳ κατασκευῇ. Ἆρα τοῦτο ἄξιον, ἵνα δι᾽ αὐτὸ κακῶς μοι ἔχῃ ἡ ψυχὴ, καὶ χεῖρον ἑαυτῆς ᾖ, ταπεινουμένη, ὀρεγομένη, συνδυομένη, πτυρομένη; καὶ τί εὑρήσεις τούτου ἄξιον;

μϛ΄. Ἀνθρώπῳ οὐδενὶ συμβαίνειν τι δύναται, ὃ οὐκ ἔστιν ἀνθρωπικὸν σύμπτωμα· οὐδὲ βοΐ, ὃ οὐκ ἔστι βοϊκόν· οὐδὲ ἀμπέλῳ, ὃ οὐκ ἔστιν ἀμπελικόν· οὐδὲ λίθῳ, ὃ οὐκ ἔστι λίθῳ ἴδιον. Εἰ οὖν ἑκάστῳ συμβαίνει, ὃ καὶ εἴωθε, καὶ πέφυκε, τί ἂν δυσχεραίνοις; οὐ γὰρ ἀφόρητόν σοι ἔφερεν ἡ κοινὴ φύσις.

μζ΄. Εἰ μὲν διά τι τῶν ἐκτὸς λυπῇ, οὐκ ἐκεῖνό σοι ἐνοχλεῖ, ἀλλὰ τὸ σὸν περὶ αὐτοῦ κρίμα. Τοῦτο δὲ ἤδη ἐξαλεῖψαι ἐπὶ σοί ἐστιν. Εἰ δὲ λυπεῖ σέ τι τῶν ἐν τῇ σῇ διαθέσει, τίς ὁ κωλύων διορθῶσαι τὸ δόγμα; ὁμοίως δὲ καὶ εἰ λυπῇ, ὅτι οὐχὶ τόδε τι ἐνεργεῖς, ὑγιὲς σοι φαινόμενον, τί οὐχὶ μᾶλλον ἐνεργεῖς, ἢ λυπῇ;—Ἀλλὰ ἰσχυρότερόν τι ἐνίσταται.—Μὴ οὖν λυποῦ· οὐ γὰρ παρὰ σὲ ἡ αἰτία τοῦ μὴ ἐνεργεῖσθαι.—Ἀλλὰ οὐκ ἄξιον ζῆν, μὴ ἐνεργουμένου τούτου.—Ἄπιθι οὖν ἐκ τοῦ ζῆν εὐμενὴς, ᾗ καὶ ὁ ἐνεργῶν ἀποθνήσκει, ἅμα ἵλεως τοῖς ἐνισταμένοις.

μη΄. Μέμνησο, ὅτι ἀκαταμάχητον γίνεται τὸ ἡγε-

μονικόν, ὅταν εἰς ἑαυτὸ συστραφὲν ἀρκεσθῇ ἑαυτῷ, μὴ ποιοῦντι, ὃ μὴ θέλει, κἂν ἀλόγως παρατάξηται. Τί οὖν, ὅταν καὶ μετὰ λόγου, καὶ περιεσκεμμένως, κρίνῃ περί τινος; Διὰ τοῦτο ἀκρόπολίς ἐστιν ἡ ἐλευθέρα παθῶν διάνοια· οὐδὲν γὰρ ὀχυρώτερον ἔχει ἄνθρωπος, ἐφ' ὃ καταφυγὼν ἀνάλωτος λοιπὸν ἂν εἴη. Ὁ μὲν οὖν μὴ ἑωρακὼς τοῦτο, ἀμαθής· ὁ δὲ ἑωρακὼς καὶ μὴ καταφεύγων, ἀτυχής.

μθ'. Μηδὲν πλέον σαυτῷ λέγε, ὧν αἱ προηγούμεναι φαντασίαι ἀναγγέλλουσιν. Ἤγγελται, ὅτι ὁ δεῖνά σε κακῶς λέγει. Ἤγγελται τοῦτο· τὸ δέ, ὅτι βέβλαψαι, οὐκ ἤγγελται. Βλέπω, ὅτι νοσεῖ τὸ παιδίον. Βλέπω· ὅτι δὲ κινδυνεύει, οὐ βλέπω. Οὕτως οὖν μένε ἀεὶ ἐπὶ τῶν πρώτων φαντασιῶν, καὶ μηδὲν αὐτὸς ἔνδοθεν ἐπίλεγε, καὶ οὐδέν σοι γίνεται· μᾶλλον δὲ ἐπίλεγε, ὡς γνωρίζων ἕκαστα τῶν ἐν τῷ κόσμῳ συμβαινόντων.

ν'. Σίκυος πικρός· ἄφες. Βάτοι ἐν τῇ ὁδῷ· ἔκκλινον. Ἀρκεῖ. Μὴ προσεπείπῃς· Τί δὲ καὶ ἐγίνετο ταῦτα ἐν τῷ κόσμῳ; ἐπεὶ καταγελασθήσῃ ὑπὸ ἀνθρώπου φυσιολόγου, ὡς ἂν καὶ ὑπὸ τέκτονος καὶ σκυτέως γελασθείης, καταγινώσκων, ὅτι ἐν τῷ ἐργαστηρίῳ ξέσματα καὶ περιτμήματα τῶν κατασκευαζομένων ὁρᾷς. Καίτοι ἐκεῖνοί γε ἔχουσι, ποῦ αὐτὰ ῥίψωσιν· ἡ δὲ τῶν ὅλων φύσις ἔξω οὐδὲν ἔχει· ἀλλὰ τὸ θαυμαστὸν τῆς τέχνης ταύτης ἐστίν, ὅτι, περιορίσασα ἑαυτήν, πᾶν τὸ ἔνδον, διαφθείρεσθαι καὶ γηράσκειν καὶ ἄχρηστον εἶναι δοκοῦν, εἰς ἑαυτὴν μεταβάλλει, καὶ ὅτι πάλιν ἄλλα νεαρὰ ἐκ τοῦ-

τῶν αὐτῶν ποιεῖ· ἵνα μήτε οὐσίας ἔξωθεν χρήζῃ, μήτε, ὅπου ἐκβάλῃ τὰ σαπρότερα, προσδέηται. Ἀρκεῖται οὖν καὶ χώρᾳ τῇ ἑαυτῆς, καὶ ὕλῃ τῇ ἑαυτῆς, καὶ τέχνῃ τῇ ἰδίᾳ.

να'. Μήτε ἐν ταῖς πράξεσιν ἐπισύρειν· μήτε ἐν ταῖς ὁμιλίαις φύρειν· μήτε ἐν ταῖς φαντασίαις ἀλᾶσθαι· μήτε τῇ ψυχῇ καθάπαξ συνέλκεσθαι, ἢ ἐκθόρνυσθαι· μήτε ἐν τῷ βίῳ ἀσχολεῖσθαι. Κτείνουσι, κρεανομοῦσι, κατάραις ἐλαύνουσι. Τί οὖν ταῦτα πρὸς τὸ τὴν διάνοιαν μένειν καθαράν, φρενήρη, σώφρονα, δικαίαν; οἷον εἴ τις, παραστὰς πηγῇ διαυγεῖ καὶ γλυκείᾳ, βλασφημοίη αὐτήν, ἡ δὲ οὐ παύεται πότιμον ἀναβλύουσα· κἂν πηλὸν ἐμβάλῃ, κἂν κοπρίαν, τάχιστα διασκεδάσει αὐτά, καὶ ἐκκλύσει, καὶ οὐδαμῶς βαφήσεται. Πῶς οὖν πηγὴν ἀένναον ἕξεις, [καὶ μὴ φρέαρ]; φύου σεαυτὸν πάσης ὥρας εἰς ἐλευθερίαν, μετὰ τοῦ εὐμενῶς, καὶ ἁπλῶς, καὶ αἰδημόνως.

νβ'. Ὁ μὲν μὴ εἰδώς, ὅ τι ἐστι κόσμος, οὐκ οἶδεν, ὅπου ἐστίν. Ὁ δὲ μὴ εἰδώς, πρὸς ὅ τι πέφυκεν, οὐκ οἶδεν, ὅστις ἐστιν, οὐδὲ τί ἐστι κόσμος. Ὁ δὲ ἕν τι τούτων ἀπολιπών, οὐδ' ἄν, πρὸς ὅ τι αὐτὸς πέφυκεν, εἴποι. Τίς οὖν φαίνεταί σοι ὁ τὸν τῶν κροτούντων ἔπαινον [φεύγων ἢ] διώκων, οἳ οὔθ' ὅπου εἰσίν, οὔτε οἵτινές εἰσι, γινώσκουσι;

νγ'. Ἐπαινεῖσθαι θέλεις ὑπὸ ἀνθρώπου, τρὶς τῆς ὥρας ἑαυτῷ καταρωμένου; ἀρέσκειν θέλεις ἀνθρώπῳ, ὃς οὐκ ἀρέσκει ἑαυτῷ; Ἀρέσκει ἑαυτῷ, ὁ μετανοῶν ἐφ' ἅπασι σχεδὸν, οἷς πράσσει;

νδ'. Μηκέτι μόνον συμπνεῖν τῷ περιέχοντι ἀέρι, ἀλλ' ἤδη καὶ συμφρονεῖν τῷ περιέχοντι πάντα νοερῷ. Οὐ γὰρ ἧττον ἡ νοερὰ δύναμις πάντη κέχυται καὶ διαπεφοίτηκε τῷ σπᾶσαι βουλομένῳ, ἤπερ ἡ ἀερώδης τῷ ἀναπνεῦσαι δυναμένῳ.

νε'. Γενικῶς μὲν ἡ κακία οὐδὲν βλάπτει τὸν κόσμον· ἡ δὲ κατὰ μέρος, οὐδὲν βλάπτει τὸν ἕτερον. Μόνῳ δὲ βλαβερά ἐστι τούτῳ, ᾧ ἐπιτέτραπται καὶ ἀπηλλάχθαι αὐτῆς, ὁπόταν πρῶτον οὗτος θελήσῃ.

νϛ'. Τῷ ἐμῷ προαιρετικῷ τὸ τοῦ πλησίον προαιρετικὸν ἐπίσης ἀδιάφορόν ἐστιν, ὡς καὶ τὸ πνευμάτιον αὐτοῦ καὶ τὸ σαρκίδιον. Καὶ γὰρ εἰ ὅτι μάλιστα ἀλλήλων ἕνεκεν γεγόναμεν, ὅμως τὰ ἡγεμονικὰ ἡμῶν ἕκαστον τὴν ἰδίαν κυρίαν ἔχει· ἐπεί τοι ἔμελλεν ἡ τοῦ πλησίον κακία ἐμοῦ κακὸν εἶναι· ὅπερ οὐκ ἔδοξε τῷ θεῷ, ἵνα μὴ ἐπ' ἄλλῳ ᾖ τὸ ἐμὲ ἀτυχεῖν.

νζ'. Ὁ ἥλιος κατακεχύσθαι δοκεῖ, καὶ πάντη γε κέχυται, οὐ μὴν ἐκκέχυται. Ἡ γὰρ χύσις αὕτη τάσις ἐστίν. Ἀκτῖνες γοῦν αἱ αὐγαὶ αὐτοῦ ἀπὸ τοῦ Ἐκτείνεσθαι λέγονται. Ὁποῖον δέ τι ἐστὶν ἀκτίς, ἴδοις ἄν, εἰ διά τινος στενοῦ εἰς ἐσκιασμένον οἶκον τὸ ἀφ' ἡλίου φῶς εἰσδυόμενον θεάσαιο· τείνεται γὰρ κατ' εὐθύ, καὶ ὥσπερ διαιρεῖται δὴ πρὸς τὸ στερέμνιον, ὅ τι ἂν ἀπαντήσῃ, διεῖργον τὸν ἐπέκεινα ἀέρα· ἐνταῦθα δὲ ἔστη, καὶ οὐ κατώλισθεν, οὐδὲ ἔπεσε. Τοιαύτην οὖν τὴν χύσιν καὶ διάχυσιν τῆς διανοίας εἶναι χρή, μηδαμῶς ἔκχυσιν, ἀλλὰ τάσιν, καὶ πρὸς τὰ ἀπαντῶντα κωλύματα μὴ βίαιον μηδὲ

ῥαγδαίαν τὴν ἐπέρεισιν ποιεῖσθαι· μηδὲ μὴν καταπίπτειν, ἀλλὰ ἵστασθαι, καὶ ἐπιλάμπειν τὸ δεχόμενον. Αὐτὸ γὰρ ἑαυτὸ στερήσει τῆς αὐγῆς, τὸ μὴ παραπέμπον αὐτήν.

νη. Ὁ τὸν θάνατον φοβούμενος, ἤτοι ἀναισθησίαν φοβεῖται, ἢ αἴσθησιν ἑτεροίαν. Ἀλλ' εἴτε οὐκέτι αἴσθησιν, οὐδὲ κακοῦ τινος αἰσθήσῃ· εἴτε ἀλλοιοτέραν αἴσθησιν κτήσῃ, ἀλλοῖον ζῶον ἔσῃ, καὶ τοῦ ζῆν οὐ παύσῃ.

νθ'. Οἱ ἄνθρωποι γεγόνασιν ἀλλήλων ἕνεκεν. Δίδασκε οὖν, ἢ φέρε.

ξ'. Ἄλλως βέλος, ἄλλως νοῦς φέρεται· ὁ μέντοι νοῦς, καὶ ὅταν εὐλαβῆται, καὶ ὅταν περὶ τὴν σκέψιν στρέφηται, φέρεται κατ' εὐθὺ οὐδὲν ἧττον, καὶ ἐπὶ τὸ προκείμενον.

ξά. Εἰσιέναι εἰς τὸ ἡγεμονικὸν ἑκάστου· παρέχειν δὲ καὶ ἑτέρῳ παντὶ εἰσιέναι εἰς τὸ ἑαυτοῦ ἡγεμονικόν.

ΒΙΒΛΙΟΝ Θ.

Ὁ ἈΔΙΚΩΝ, ἀσεβεῖ. Τῆς γὰρ τῶν ὅλων φύσεως κατεσκευακυίας τὰ λογικὰ ζῶα ἕνεκεν ἀλλήλων, ὥστε ὠφελεῖν μὲν ἄλληλα κατ' ἀξίαν, βλάπτειν δὲ μηδαμῶς, ὁ τὸ βούλημα ταύτης παραβαίνων, ἀσεβεῖ δηλονότι εἰς τὴν πρεσβυτάτην τῶν θεῶν. Καὶ ὁ ψευδόμενος δὲ ἀσεβεῖ περὶ τὴν αὐτὴν θεόν. Ἡ γὰρ τῶν ὅλων φύσις, ὄντων ἐστὶ φύσις. Τὰ δέ γε ὄντα πρὸς τὰ ὑπάρχοντα πάντα οἰκείως ἔχει. Ἔτι δὲ καὶ

ἀλήθεια αὕτη ὀνομάζεται, καὶ τῶν ἀληθῶν ἁπάντων πρώτη αἰτία ἐστίν. Ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἀσεβεῖ, καθόσον ἐξαπατῶν ἀδικεῖ· ὁ δὲ ἄκων, καθόσον διαφωνεῖ τῇ τῶν ὅλων φύσει, καὶ καθόσον ἀκοσμεῖ, μαχόμενος τῇ τοῦ κόσμου φύσει· μάχεται γὰρ ὁ ἐπὶ τἀναντία τοῖς ἀληθέσι φερόμενος παρ᾽ ἑαυτόν· ἀφορμὰς γὰρ προειλήφει παρὰ τῆς φύσεως, ὧν ἀμελήσας οὐχ οἷός τέ ἐστι νῦν διακρίνειν τὰ ψευδῆ ἀπὸ τῶν ἀληθῶν. Καὶ μὴν ὁ τὰς ἡδονὰς ὡς ἀγαθὰ διώκων, τοὺς δὲ πόνους ὡς κακὰ φεύγων, ἀσεβεῖ. Ἀνάγκη γὰρ, τὸν τοιοῦτον μέμφεσθαι πολλάκις τῇ κοινῇ φύσει, ὡς παρ᾽ ἀξίαν τι ἀπονεμούσῃ τοῖς φαύλοις καὶ τοῖς σπουδαίοις, διὰ τὸ πολλάκις τοὺς μὲν φαύλους ἐν ἡδοναῖς εἶναι, καὶ τὰ ποιητικὰ τούτων κτᾶσθαι· τοὺς δὲ σπουδαίους πόνῳ, καὶ τοῖς ποιητικοῖς τούτου περιπίπτειν. Ἔτι δὲ ὁ φοβούμενος τοὺς πόνους, φοβηθήσεταί ποτε καὶ τῶν ἐσομένων τι ἐν τῷ κόσμῳ· τοῦτο δὲ ἤδη ἀσεβές. Ὅ τε διώκων τὰς ἡδονὰς, οὐκ ἀφέξεται τοῦ ἀδικεῖν· τοῦτο δὲ ἐναργῶς ἀσεβές. Χρὴ δὲ, πρὸς ἃ ἡ κοινὴ φύσις ἐπίσης ἔχει (οὐ γὰρ ἂν ἀμφότερα ἐποίει, εἰ μὴ πρὸς ἀμφότερα ἐπίσης εἶχε), πρὸς ταῦτα καὶ τοὺς τῇ φύσει βουλομένους ἕπεσθαι, ὁμογνώμονας ὄντας, ἐπίσης διακεῖσθαι. Ὅστις οὖν πρὸς πόνον καὶ ἡδονὴν, ἢ θάνατον καὶ ζωὴν, ἢ δόξαν καὶ ἀδοξίαν, οἷς ἐπίσης ἡ τῶν ὅλων φύσις χρῆται, αὐτὸς οὐκ ἐπίσης ἔχει, δῆλον, ὡς ἀσεβεῖ. Λέγω δὲ τὸ χρῆσθαι τούτοις ἐπίσης τὴν κοινὴν φύσιν, ἀντὶ τοῦ συμβαίνειν ἐπίσης κατὰ τὸ ἑξῆς γινομένοις, καὶ ἐπιγινομένοις ὁρμῇ τινι

ἀρχαίᾳ τῆς προνοίας, καθ' ἣν ἀπό τινος ἀρχῆς ὥρμησεν ἐπὶ τήνδε τὴν διακόσμησιν, συλλαβοῦσά τινας λόγους τῶν ἐσομένων, καὶ δυνάμεις γονίμους ἀφορίσασα ὑποστάσεών τε, καὶ μεταβολῶν, καὶ διαδοχῶν τοιούτων.

β'. Χαριεστέρου μὲν ἂν ἦν ἀνδρὸς, ἄγευστον ψευδολογίας καὶ πάσης ὑποκρίσεως καὶ τρυφῆς καὶ τύφου γενόμενον, ἐξ ἀνθρώπων ἀπελθεῖν. Τὸ δ' οὖν κορεσθέντα γε τούτων ἀποπνεῦσαι, δεύτερος πλοῦς. Ἢ προῄρησαι προσκαθῆσθαι τῇ κακίᾳ, καὶ οὔπω σε οὐδὲ ἡ πεῖρα πείθει φεύγειν ἐκ τοῦ λοιμοῦ; λοιμὸς γὰρ διαφθορὰ διανοίας πολλῷ γε μᾶλλον, ἤπερ ἡ τοῦ περικεχυμένου τούτου πνεύματος τοιάδε τις δυσκρασία καὶ τροπή. Αὕτη μὲν γὰρ ζώων λοιμὸς, καθὸ ζῶά ἐστιν· ἐκείνη δὲ ἀνθρώπων, καθὸ ἄνθρωποί εἰσιν.

γ'. Μὴ καταφρόνει θανάτου, ἀλλὰ εὐαρέστει αὐτῷ, ὡς καὶ τούτου ἑνὸς ὄντος, ὧν ἡ φύσις ἐθέλει. Οἷον γάρ ἐστι τὸ νεάσαι, καὶ τὸ γηράσαι, καὶ τὸ αὐξῆσαι, καὶ τὸ ἀκμάσαι, καὶ ὀδόντας, καὶ γένειον, καὶ πολιὰς ἐνεγκεῖν, καὶ σπεῖραι, καὶ κυοφορῆσαι, καὶ ἀποκυῆσαι, καὶ τὰ ἄλλα τὰ φυσικὰ ἐνεργήματα, ὅσα αἱ τοῦ σοῦ βίου ὧραι φέρουσι, τοιοῦτο καὶ τὸ διαλυθῆναι. Τοῦτο μὲν οὖν κατὰ ἄνθρωπόν ἐστι λελογισμένον, μὴ ὁλοσχερῶς, μηδὲ ὠστικῶς, μηδὲ ὑπερηφάνως πρὸς τὸν θάνατον ἔχειν· ἀλλὰ περιμένειν ὡς μίαν τῶν φυσικῶν ἐνεργειῶν· ὡς νῦν περιμένεις, πότε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, οὕτως ἐκδέχεσθαι τὴν ὥραν, ἐν ᾗ τὸ

ψυχάριόν σου τοῦ ἐλύτρου τούτου ἐκπεσεῖται. Εἰ δὲ καὶ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον ἐθέλεις, μάλιστά σε εὔκολον πρὸς τὸν θάνατον ποιήσει ἡ ἐπίστασις ἡ ἐπὶ τὰ ὑποκείμενα, ὧν μέλλεις ἀφίστασθαι, καὶ μεθ᾽ οἵων ἠθῶν οὐκέτι ἔσται ἡ ψυχὴ συμπεφυρμένη. Προσκόπτεσθαι μὲν γὰρ αὐτοῖς ἥκιστα δεῖ, ἀλλὰ καὶ κήδεσθαι καὶ πρᾴως φέρειν· μεμνῆσθαι μέντοι, ὅτι οὐκ ἀπ᾽ ἀνθρώπων ὁμοδογματούντων σοι ἡ ἀπαλλαγὴ ἔσται. Τοῦτο γὰρ μόνον, εἴπερ ἄρα, ἀνθεῖλκεν ἂν καὶ κατεῖχεν ἐν τῷ ζῆν, εἰ συζῆν ἐφεῖτο τοῖς τὰ αὐτὰ δόγματα περιπεποιημένοις. Νῦν δὲ ὁρᾷς, ὅσος ὁ κόπος ἐν τῇ διαφωνίᾳ τῆς συμβιώσεως, ὥστε εἰπεῖν, Θᾶττον ἔλθοις! ὦ θάνατε, μή που καὶ αὐτὸς ἐπιλάθωμαι ἐμαυτοῦ.

δ. Ὁ ἁμαρτάνων, ἑαυτῷ ἁμαρτάνει· ὁ ἀδικῶν, ἑαυτὸν ἀδικεῖ, κακὸν ἑαυτὸν ποιῶν.

ε. Ἀδικεῖ πολλάκις ὁ μὴ ποιῶν τι, οὐ μόνον ὁ ποιῶν τι.

ϛ. Ἀρκεῖ ἡ παροῦσα ὑπόληψις καταληπτική, καὶ ἡ παροῦσα πρᾶξις κοινωνική, καὶ ἡ παροῦσα διάθεσις εὐαρεστικὴ πρὸς πᾶν τὸ παρὰ τὸ ἐκ τῆς αἰτίας συμβαῖνον.

ζ. Ἐξαλεῖψαι φαντασίαν· στῆσαι ὁρμήν· σβέσαι ὄρεξιν· ἐφ᾽ ἑαυτῷ ἔχειν τὸ ἡγεμονικόν.

η. Εἰς μὲν τὰ ἄλογα ζῷα μία ψυχὴ διῄρηται· εἰς δὲ τὰ λογικὰ μία νοερὰ ψυχὴ μεμέρισται. Ὥσπερ καὶ μία γῆ ἐστιν ἁπάντων τῶν γεωδῶν, καὶ ἑνὶ φωτὶ ὁρῶμεν, καὶ ἕνα ἀέρα ἀναπνέομεν, ὅσα ὁρατικὰ καὶ ἔμψυχα πάντα.

θ'. Ὅσα κοινοῦ τινος μετέχει, πρὸς τὸ ὁμογενὲς σπεύδει. Τὸ γεῶδες πᾶν ῥέπει ἐπὶ γῆν, τὸ ὑγρὸν πᾶν σύῤῥουν, τὸ ἀερῶδες ὁμοίως· ὥστε χρῄζειν τῶν διειργόντων καὶ βίας. Τὸ πῦρ ἀνωφερὲς μὲν, διὰ τὸ στοιχειῶδες πῦρ· παντὶ δὲ πυρὶ ἐνταῦθα πρὸς τὸ συνεξάπτεσθαι ἕτοιμον οὕτως, ὥστε καὶ πᾶν τὸ ὑλικὸν, τὸ ὀλίγῳ ξηρότερον, εὐέξαπτον εἶναι, διὰ τὸ ἔλαττον ἐγκεκρᾶσθαι αὐτῷ τὸ κωλυτικὸν πρὸς ἔξαψιν. Καὶ τοίνυν πᾶν τὸ κοινῆς νοερᾶς φύσεως μέτοχον πρὸς τὸ συγγενὲς ὁμοίως σπεύδει, ἢ καὶ μᾶλλον. Ὅσῳ γάρ ἐστι κρεῖττον παρὰ τὰ ἄλλα, τοσούτῳ καὶ πρὸς τὸ συγκιρνᾶσθαι τῷ οἰκείῳ καὶ συγχεῖσθαι ἑτοιμότερον. Εὐθὺς γοῦν ἐπὶ μὲν τῶν ἀλόγων εὑρέθη σμήνη, καὶ ἀγέλαι, καὶ νεοσσοτροφίαι, καὶ οἷον ἔρωτες· ψυχαὶ γὰρ ἤδη ἦσαν ἐνταῦθα, καὶ τὸ συναγωγὸν ἐν τῷ κρείττονι ἐπιτεινόμενον εὑρίσκετο, οἷον οὔτε ἐπὶ φυτῶν ἦν, οὔτε ἐπὶ λίθων, ἢ ξύλων. Ἐπὶ δὲ τῶν λογικῶν ζώων, πολιτεῖαι, καὶ φιλίαι, καὶ οἶκοι, καὶ σύλλογοι, καὶ ἐν πολέμοις συνθῆκαι καὶ ἀνοχαί. Ἐπὶ δὲ τῶν ἔτι κρειττόνων, καὶ ἐκ διεστηκότων τρόπον τινὰ ἕνωσις ὑπέστη, οἷα ἐπὶ τῶν ἄστρων. Οὕτως ἡ ἐπὶ τὸ κρεῖττον ἐπανάβασις συμπάθειαν καὶ ἐν διεστῶσιν ἐργάσασθαι δύναται. Ὅρα οὖν τὸ νῦν γινόμενον. Μόνα γὰρ τὰ νοερὰ νῦν ἐπιλέλησται τῆς πρὸς ἄλληλα σπουδῆς καὶ συννεύσεως, καὶ τὸ σύῤῥουν ὧδε μόνον οὐ βλέπεται. Ἀλλ' ὅμως καίτοι φεύγοντες περικαταλαμβάνονται· κρατεῖ γὰρ ἡ φύσις· ὄψει δὲ, ὃ λέγω, παραφυλάσσων. Θᾶσσον γοῦν

εὕροι τις ἂν γεῶδές τι μηδενὸς γεώδους προσαπτόμενον, ἤπερ ἄνθρωπον ἀνθρώπου ἀπεσχισμένον.

ι. Φέρει καρπὸν καὶ ἄνθρωπος, καὶ θεός, καὶ ὁ κόσμος· ἐν ταῖς οἰκείαις ὥραις ἕκαστα φέρει. Εἰ δὲ ἡ συνήθεια κυρίως τέτριφεν ἐπὶ ἀμπέλου καὶ τῶν ὁμοίων, οὐδὲν τοῦτο. Ὁ λόγος δὲ καὶ κοινὸν καὶ ἴδιον καρπὸν ἔχει· καὶ γίνεται ἐξ αὐτοῦ τοιαῦθ' ἕτερα, ὁποῖόν τι αὐτός ἐστιν ὁ λόγος.

ια. Εἰ μὲν δύνασαι, μεταδίδασκε· εἰ δὲ μή, μέμνησο, ὅτι πρὸς τοῦτο ἡ εὐμένειά σοι δέδοται. Καὶ οἱ θεοὶ δὲ εὐμενεῖς τοῖς τοιούτοις εἰσίν· εἰς ἔνια δὲ καὶ συνεργοῦσιν, εἰς ὑγίειαν, εἰς πλοῦτον, εἰς δόξαν· οὕτως εἰσὶ χρηστοί. Ἔξεστι δὲ καὶ σοί· ἢ εἰπέ, τίς ὁ κωλύων;

ιβ'. Πόνει, μὴ ὡς ἄθλιος, μηδὲ ὡς ἐλεεῖσθαι, ἢ θαυμάζεσθαι θέλων· ἀλλὰ μόνον ἓν θέλε, κινεῖσθαι καὶ ἴσχεσθαι, ὡς ὁ πολιτικὸς λόγος ἀξιοῖ.

ιγ'. Σήμερον ἐξῆλθον πάσης περιστάσεως· μᾶλλον δὲ ἐξέβαλον πᾶσαν περίστασιν· ἔξω γὰρ οὐκ ἦν, ἀλλὰ ἔνδον ἐν ταῖς ὑπολήψεσι.

ιδ'. Πάντα ταῦτα, συνήθη μὲν τῇ πείρᾳ· ἐφήμερα δὲ τῷ χρόνῳ· ῥυπαρὰ δὲ τῇ ὕλῃ. Πάντα νῦν, οἷα ἐπ' ἐκείνων, οὓς κατεθάψαμεν.

ιε'. Τὰ πράγματα ἔξω θυρῶν ἕστηκεν, αὐτὰ ἐφ' ἑαυτῶν, μηδὲν μήτε εἰδότα περὶ αὐτῶν, μήτε ἀποφαινόμενα. Τί οὖν ἀποφαίνεται περὶ αὐτῶν; τὸ ἡγεμονικόν.

ις'. Οὐκ ἐν πείσει, ἀλλ' ἐνεργείᾳ, τὸ τοῦ λογικοῦ

πολιτικοῦ ζώου κακὸν καὶ ἀγαθὸν, ὥσπερ οὐδὲ ἡ ἀρετὴ καὶ κακία αὐτοῦ ἐν πείσει, ἀλλὰ ἐνεργείᾳ.

ιζ'. Τῷ ἀναῤῥιφέντι λίθῳ οὐδὲν κακὸν τὸ κατενεχθῆναι, οὐδὲ ἀγαθὸν τὸ ἀνενεχθῆναι.

ιή. Δίελθε ἔσω εἰς τὰ ἡγεμονικὰ αὐτῶν, καὶ ἄψει, τίνας κριτὰς φοβῇ, οἵους καὶ περὶ αὐτῶν ὄντας κριτάς.

ιθ'. Πάντα ἐν μεταβολῇ. Καὶ αὐτὸς σὺ ἐν διηνεκεῖ ἀλλοιώσει, καὶ κατά τι φθορᾷ· καὶ ὁ κόσμος δὲ ὅλος.

κ'. Τὸ ἄλλου ἁμάρτημα ἐκεῖ δεῖ καταλιπεῖν.

κά. Ἐνεργείας ἀπόληξις, ὁρμῆς (καὶ) ὑπολήψεως παῦλα, καὶ οἷον θάνατος, οὐδὲν κακόν. Μέτιθι νῦν ἐπὶ ἡλικίαν, οἷον τὴν παϊδικὴν, τὴν τοῦ μειρακίου, τὴν νεότητα, τὸ γῆρας· καὶ γὰρ τούτων πᾶσα μεταβολὴ, θάνατος. Μήτι δεινόν; μέτιθι νῦν ἐπὶ βίον τὸν ὑπὸ τῷ πάππῳ, εἶτα τὸν ὑπὸ τῇ μητρὶ, εἶτα τὸν ὑπὸ τῷ πατρί· καὶ ἄλλας δὲ πολλὰς διαφορὰς καὶ μεταβολὰς καὶ ἀπολήξεις εὑρίσκων, ἐπερώτα σεαυτὸν, Μήτι δεινόν; Οὕτως τοίνυν οὐδὲ ἡ τοῦ ὅλου βίου λῆξις, καὶ παῦλα, καὶ μεταβολή.

κβ'. Τρέχε ἐπὶ τὸ σεαυτοῦ ἡγεμονικὸν καὶ τὸ τοῦ ὅλου, καὶ τὸ τούτου. Τὸ μὲν σεαυτοῦ, ἵνα νοῦν δικαϊκὸν αὐτὸ ποιήσῃς· τὰ δὲ τοῦ ὅλου, ἵνα συμμνημονεύσῃς, τίνος μέρος εἶ· τὸ δὲ τούτου, ἵνα ἐπιστήσῃς, πότερον ἄγνοια ἢ γνώμη, καὶ ἅμα λογίσῃ, ὅτι συγγενές.

κγ'. Ὥσπερ αὐτὸς σὺ πολιτικοῦ συστήματος συμπληρωτικὸς εἶ, οὕτως καὶ πᾶσα πρᾶξίς σου συμπλη-

ρωτικὴ ἔστω ζωῆς πολιτικῆς. Ἥτις ἐὰν οὖν πρᾶξίς σου μὴ ἔχῃ τὴν ἀναφορὰν, εἴτε προσεχῶς, εἴτε πόῤῥωθεν, ἐπὶ τὸ κοινωνικὸν τέλος, αὕτη διασπᾷ τὸν βίον, καὶ οὐκ ἐᾷ ἕνα εἶναι, καὶ στασιώδης ἐστὶν, ὥσπερ ἐν δήμῳ ὁ τὸ καθ᾽ αὐτὸν μέρος διϊστάμενος ἀπὸ τῆς τοιαύτης συμφωνίας.

κδ'. Παιδίων ὀργαὶ, καὶ παίγνια, καὶ πνευμάτια νεκροὺς βαστάζοντα, ὥστε ἐναργέστερον προσπεσεῖν τὸ τῆς Νεκυίας.

κέ. Ἴθι ἐπὶ τὴν ποιότητα τοῦ αἰτίου, καὶ ἀπὸ τοῦ ὑλικοῦ αὐτὸ περιγράψας θέασαι· εἶτα καὶ τὸν χρόνον περιόρισον, ὅσον πλεῖστον ὑφίστασθαι πέφυκε τοῦτο τὸ ἰδίως ποιόν.

κϛ'. Ἀνέτλης μύρια, διὰ τὸ μὴ ἀρκεῖσθαι τῷ σῷ ἡγεμονικῷ, ποιοῦντι ταῦτα οἷα κατεσκεύασται· ἀλλὰ ἅλις.

κζ'. Ὅταν ἄλλος ψέγῃ σε, ἢ μισῇ, ἢ τοιαῦτά τινα ἐκφωνῶσιν, ἔρχου ἐπὶ τὰ ψυχάρια αὐτῶν, δίελθε ἔσω, καὶ ἴδε, ποῖοί τινές εἰσιν. Ὄψει, ὅτι οὐ δεῖ σε σπᾶσθαι, ἵνα τούτοις τί ποτε περὶ σοῦ δοκῇ. Εὐνοεῖν μέντοι αὐτοῖς δεῖ· φύσει γὰρ φίλοι. Καὶ οἱ θεοὶ δὲ παντοίως αὐτοῖς βοηθοῦσι, δι᾽ ὀνείρων, διὰ μαντειῶν, πρὸς ταῦτα μέντοι, πρὸς ἃ ἐκεῖνοι διαφέρονται.

κή. Ταῦτά ἐστι τὰ τοῦ κόσμου ἐγκύκλια, ἄνω, κάτω, ἐξ αἰῶνος εἰς αἰῶνα. Καὶ ἤτοι ἐφ᾽ ἕκαστον ὁρμᾷ ἡ τοῦ ὅλου διάνοια· ὅπερ εἴ ἐστιν, ἀπόδεχου τὸ ἐκείνης ὁρμητόν· ἢ ἅπαξ ὥρμησε, τὰ δὲ λοιπὰ κατ᾽ ἐπακολούθησιν καὶ τὶ ἔν τίνι· τρόπον γάρ τινα

ἄτομοι, ἢ ἀμερῆ· τὸ δὲ ὅλον, εἴτε Θεὸς, εὖ ἔχει πάντα· εἴτε τὸ εἰκῆ, μὴ καὶ σὺ εἰκῆ. Ἤδη πάντας ἡμᾶς γῆ καλύψει· ἔπειτα καὶ αὐτὴ μεταβαλεῖ· κἀκεῖνα εἰς ἄπειρον μεταβαλεῖ· καὶ πάλιν ἐκεῖνα εἰς ἄπειρον. Τὰς γὰρ ἐπικυματώσεις τῶν μεταβολῶν καὶ ἀλλοιώσεων ἐνθυμούμενός τις, καὶ τὸ τάχος, παντὸς θνητοῦ καταφρονήσει.

κθ΄. Χειμάῤῥους ἡ τῶν ὅλων αἰτία· πάντα φέρει. Ὡς εὐτελῆ δὲ καὶ τὰ πολιτικὰ ταῦτα, καὶ, ὡς οἴεται, φιλοσόφως πρακτικὰ ἀνθρώπια! μυξῶν μεστά. Ἄνθρωπε, τί ποτε; ποίησον, ὃ νῦν ἡ φύσις ἀπαιτεῖ. Ὅρμησον, ἐὰν διδῶται, καὶ μὴ περιβλέπου, εἴ τις εἴσεται· μηδὲ τὴν Πλάτωνος πολιτείαν ἔλπιζε· ἀλλὰ ἀρκοῦ, εἰ τὸ βραχύτατον πρόεισι· καὶ τούτου αὐτοῦ τὴν ἔκβασιν, ὡς οὐ μικρόν τί ἐστι, διανοοῦ. Δόγμα γὰρ αὐτῶν τίς μεταβάλλει; χωρὶς δὲ δογμάτων μεταβολῆς τί ἄλλο, ἢ δουλεία στενόντων, καὶ πείθεσθαι προσποιουμένων; ὕπαγε νῦν, καὶ Ἀλέξανδρον, καὶ Φίλιππον, καὶ Δημήτριον τὸν Φαληρέα μοι λέγε. Ὄψονται, εἰ εἶδον, τί ἡ κοινὴ φύσις ἤθελε, καὶ ἑαυτοὺς ἐπαιδαγώγησαν· εἰ δὲ ἐτραγῴδησαν, οὐδείς με κατακέκρικε μιμεῖσθαι. Ἁπλοῦν ἐστι καὶ αἰδῆμον τὸ φιλοσοφίας ἔργον· μή με ἄπαγε ἐπὶ σεμνοτυφίαν.

λ΄. Ἄνωθεν ἐπιθεωρεῖν ἀγέλας μυρίας, καὶ τελετὰς μυρίας, καὶ πλοῦν παντοῖον ἐν χειμῶσι καὶ γαλήναις, καὶ διαφορὰς γινομένων, συγγινομένων, ἀπογινομένων. Ἐπινόει δὲ καὶ τὸν ὑπ' ἄλλων πάλαι βεβιωμένον βίον, καὶ τὸν μετά σε βιωθησόμενον, καὶ

τὸν νῦν ἐν τοῖς βαρβάροις ἔθνεσι βιούμενον· καὶ ὅσοι μὲν οὐδὲ ὄνομά σου γινώσκουσιν, ὅσοι δὲ τάχιστα ἐπιλήσονται, ὅσοι δὲ, ἐπαινοῦντες ἴσως νῦν σε, τάχιστα ψέξουσι· καὶ ὡς οὔτε ἡ μνήμη ἀξιόλογόν γε, οὔτε ἡ δόξα, οὔτε ἄλλο τι τὸ σύμπαν.

λά. Ἀταραξία μὲν, περὶ τὰ ἀπὸ τῆς ἐκτὸς αἰτίας συμβαίνοντα. Δικαιότης δὲ, ἐν τοῖς παρὰ τὴν ἐκ σοῦ αἰτίαν ἐνεργουμένοις· τουτέστιν, ὁρμὴ καὶ πρᾶξις, καταλήγουσα ἐπ' αὐτὸ τὸ κοινωνικῶς πρᾶξαι, ὡς τοῦτό σοι κατὰ φύσιν ὄν.

λβ'. Πολλὰ περισσὰ περιελεῖν τῶν ἐνοχλούντων σοὶ δύνασαι, ὅλα ἐπὶ τῇ ὑπολήψει σου κείμενα· καὶ πολλὴν εὐρυχωρίαν περιποιήσεις ἤδη σεαυτῷ, τῷ τὸν ὅλον κόσμον περιειληφέναι τῇ γνώμῃ, καὶ τὸν ἀΐδιον αἰῶνα περινοεῖν, καὶ τὴν τοῦ κατὰ μέρος ἑκάστου πράγματος ταχεῖαν μεταβολὴν ἐπινοεῖν, ὡς βραχὺ μὲν τὸ ἀπὸ γενέσεως μέχρι διαλύσεως, ἀχανὲς δὲ τὸ πρὸ τῆς γενέσεως, ὡς καὶ τὸ μετὰ τὴν διάλυσιν ὁμοίως ἄπειρον.

λγ'. Πάντα, ὅσα ὁρᾷς, τάχιστα φθαρήσεται καὶ οἱ φθειρόμενα αὐτὰ ἐπιδόντες, τάχιστα καὶ αὐτοὶ φθαρήσονται. Καὶ ὁ ἐσχατόγηρως ἀποθανὼν εἰς ἴσον καταστήσεται τῷ προώρῳ.

λδ'. Τίνα τὰ ἡγεμονικὰ τούτων, καὶ περὶ οἷα ἐσπουδάκασι, καὶ δι' οἷα φιλοῦσι καὶ τιμῶσι! Γυμνὰ νόμιζε βλέπειν τὰ ψυχάρια αὐτῶν. Ὅτε δοκοῦσι βλάπτειν ψέγοντες, ἢ ὠφελεῖν ἐξυμνοῦντες, ὅση οἴησις!

λέ. Ἡ ἀποβολὴ οὐδὲν ἄλλο ἐστὶν, ἢ μεταβολή

Τούτῳ δὲ χαίρει ἡ τῶν ὅλων φύσις, καθ' ἣν πάντα καλῶς γίνεται, (καὶ) ἐξ αἰῶνος ὁμοειδῶς ἐγίνετο, καὶ εἰς ἄπειρον τοιαῦθ' ἕτερα ἔσται. Τί οὖν λέγεις; ὅτι ἐγίνετό τε πάντα, καὶ πάντα ἀεὶ κακῶς ἔσται, καὶ οὐδεμία ἄρα δύναμις ἐν τοσούτοις θεοῖς ἐξευρέθη ποτὲ ἡ διορθώσουσα ταῦτα, ἀλλὰ κατακέκριται ὁ κόσμος ἐν ἀδιαλείπτοις κακοῖς συνέχεσθαι;

λς'. Τὸ σαπρὸν τῆς ἑκάστῳ ὑποκειμένης ὕλης, ὕδωρ, κόνις, ὀστάρια, γράσος· ἢ πάλιν, πῶροι γῆς τὰ μάρμαρα· καὶ ὑποστάθμαι ὁ χρυσὸς, ὁ ἄργυρος· καὶ τριχία ἡ ἐσθής· καὶ αἷμα ἡ πορφύρα· καὶ τὰ ἄλλα πάντα τοιαῦτα. Καὶ τὸ πνευματικὸν δὲ ἄλλο τοιοῦτον, ἐκ τούτων εἰς ταῦτα μεταβάλλον.

λζ'. Ἅλις τοῦ ἀθλίου βίου, καὶ γογγυσμοῦ, καὶ πιθηκισμοῦ. Τί ταράσσῃ; τί τούτων καινόν; τί σε ἐξίστησι; τὸ αἴτιον; ἴδε αὐτό. Ἀλλ' ἡ ὕλη; ἴδε αὐτήν. Ἔξω δὲ τούτων οὐδέν ἐστιν· ἀλλὰ καὶ πρὸς τοὺς θεοὺς ἤδη ποτὲ ἁπλούστερος καὶ χρηστότερος γένου. Ἴσον τὸ ἑκατὸν ἔτεσι, καὶ τὸ τρισὶ ταῦτα ἱστορῆσαι.

λη'. Εἰ μὲν ἥμαρτεν, ἐκεῖ τὸ κακόν. Τάχα δ' οὐχ ἥμαρτεν.

λθ'. Ἤτοι ἀπὸ μιᾶς πηγῆς νοερᾶς πάντα, ὡς ἑνὶ σώματι, ἐπισυμβαίνει, καὶ οὐ δεῖ τὸ μέρος τοῖς ὑπὲρ τοῦ ὅλου γινομένοις μέμφεσθαι· ἢ ἄτομοι, καὶ οὐδὲν ἄλλο, ἢ κυκεὼν καὶ σκεδασμός. τί οὖν ταράσσῃ; Τῷ ἡγεμονικῷ λέγεις. τέθνηκας, ἔφθαρσαι, ὑποκρίνῃ, τεθηρίωσαι, συναγελάζῃ, βόσκῃ;

μ'. Ἤτοι οὐδὲν δύνανται οἱ θεοὶ, ἢ δύνανται. Εἰ μὲν οὖν μὴ δύνανται, τί εὔχῃ; εἰ δὲ δύνανται,

διὰ τί οὐχὶ μᾶλλον εὔχῃ διδόναι αὐτοὺς τὸ μήτε φοβεῖσθαί τι τούτων, μήτε ἐπιθυμεῖν τινος τούτων, μήτε λυπεῖσθαι ἐπί τινι τούτων μᾶλλον, ἤπερ τὸ μὴ παρεῖναί τι τούτων, ἢ τὸ παρεῖναι; πάντως γάρ, εἰ δύνανται συνεργεῖν ἀνθρώποις, καὶ εἰς ταῦτα δύνανται συνεργεῖν. Ἀλλὰ ἴσως ἐρεῖς, ὅτι Ἐπ' ἐμοὶ αὐτὰ οἱ θεοὶ ἐποίησαν. Εἶτα, οὐ κρεῖσσον χρῆσθαι τοῖς ἐπὶ σοὶ μετ' ἐλευθερίας, ἢ διαφέρεσθαι πρὸς τὰ μὴ ἐπὶ σοὶ μετὰ δουλείας καὶ ταπεινότητος; τίς δέ σοι εἶπεν, ὅτι οὐχὶ καὶ εἰς τὰ ἐφ' ἡμῖν οἱ θεοὶ συλλαμβάνουσιν; Ἄρξαι γοῦν περὶ τούτων εὔχεσθαι, καὶ ὄψει. Οὗτος εὔχεται· Πῶς κοιμηθῶ μετ' ἐκείνης! σύ· Πῶς μὴ ἐπιθυμήσω τοῦ κοιμηθῆναι μετ' ἐκείνης! Ἄλλος· Πῶς στερηθῶ ἐκείνου! σύ· Πῶς μὴ χρήζω τοῦ στερηθῆναι! Ἄλλος· Πῶς μὴ ἀποβάλω τὸ τεκνίον! σύ· Πῶς μὴ φοβηθῶ ἀποβαλεῖν! Ὅλως (δὲ) ὧδε ἐπίτρεψον τὰς εὐχάς, καὶ θεώρει, τί γίνεται.

μά. Ὁ Ἐπίκουρος λέγει, ὅτι ἐν τῇ νόσῳ οὐκ ἦσάν μοι αἱ ὁμιλίαι περὶ τῶν τοῦ σωματίου παθῶν, οὐδὲ πρὸς τοὺς εἰσιόντας τοιαῦτά τινα, φησίν, ἐλάλουν· ἀλλὰ τὰ προηγούμενα φυσιολογῶν διετέλουν, καὶ πρὸς αὐτῷ τούτῳ ὤν, πῶς ἡ διάνοια συμμεταλαμβάνουσα τῶν ἐν τῷ σαρκιδίῳ τοιούτων κινήσεων ἀταρακτῇ, τὸ ἴδιον ἀγαθὸν τηροῦσα. Οὐδὲ τοῖς ἰατροῖς ἐμπαρεῖχον, φησί, καταφρυάττεσθαι, ὥς τι ποιοῦσιν, ἀλλ' ὁ βίος ἤγετο εὖ καὶ καλῶς. Ταὐτὰ οὖν ἐκείνῳ, ἐν νόσῳ, ἐὰν νοσῇς, καὶ ἐν ἄλλῃ τινὶ περιστάσει· τὸ γὰρ μὴ ἀφίστασθαι φιλοσοφίας ἐν

οἷς δήποτε τοῖς προσπίπτουσι, μηδὲ τῷ ἰδιώτῃ καὶ ἀφυσιολόγῳ συμφλυαρεῖν, πάσης αἱρέσεως κοινόν, πρὸς μόνῳ (δὲ) τῷ νῦν πρασσομένῳ εἶναι, καὶ τῷ ὀργάνῳ, δι' οὗ πράσσει.

μβ'. Ὅταν τινὸς ἀναισχυντίᾳ προσκόπτῃς, εὐθὺς πυνθάνου σεαυτοῦ, Δύνανται οὖν ἐν τῷ κόσμῳ ἀναίσχυντοι μὴ εἶναι; οὐ δύνανται. Μὴ οὖν ἀπαίτει τὸ ἀδύνατον. Εἷς γὰρ καὶ οὗτός ἐστιν ἐκείνων τῶν ἀναισχύντων, οὓς ἀνάγκη ἐν τῷ κόσμῳ εἶναι. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ ἀπίστου, καὶ παντὸς τοῦ ὁτιοῦν ἁμαρτάνοντος, ἔστω σοι πρόχειρον. Ἅμα γὰρ τῷ ὑπομνησθῆναι, ὅτι τὸ γένος τῶν τοιούτων ἀδύνατόν ἐστι μὴ ὑπάρχειν, εὐμενέστερος ἔσῃ πρὸς τοὺς καθ' ἕνα. Εὔχρηστον δὲ κἀκεῖνο εὐθὺς ἐννοεῖν, τίνα ἔδωκεν ἡ φύσις τῷ ἀνθρώπῳ ἀρετὴν πρὸς τοῦτο τὸ ἁμάρτημα. Ἔδωκε γάρ, ὡς ἀντιφάρμακον, πρὸς μὲν τὸν ἀγνώμονα τὴν πρᾳότητα, πρὸς δὲ ἄλλον ἄλλην τινὰ δύναμιν. Ὅλως δὲ ἔξεστί σοι μεταδιδάσκειν τὸν πεπλανημένον· πᾶς γὰρ ὁ ἁμαρτάνων ἀφαμαρτάνει τοῦ προκειμένου, καὶ πεπλάνηται. Τί δὲ καὶ βέβλαψαι; εὑρήσεις γὰρ μηδένα τούτων, πρὸς οὓς καὶ παροξύνῃ, πεποιηκότα τι τοιοῦτον, ἐξ οὗ ἡ διάνοιά σου χείρων ἔμελλε γενήσεσθαι· τὸ δὲ κακόν σου καὶ τὸ βλαβερὸν ἐνταῦθα πᾶσαν τὴν ὑπόστασιν ἔχει. Τί δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ ἀπαίδευτος τὰ τοῦ ἀπαιδεύτου πράσσει; ὅρα, μὴ σεαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλῃς, ὅτι οὐ προσεδόκησας τοῦτον τοῦτο ἁμαρτήσεσθαι. Σὺ γὰρ καὶ ἀφορμὰς ἐκ τοῦ λόγου εἶχες πρὸς τὸ ἐνθυ-

μηθῆναι, ὅτι εἰκός ἐστι τοῦτον τοῦτο ἁμαρτήσεσθαι, καὶ ὅμως ἐπιλαθόμενος θαυμάζεις, εἰ ἡμάρτηκε. Μάλιστα δὲ, ὅταν ὡς ἀπίστῳ, ἢ ἀχαρίστῳ μέμφῃ, εἰς ἑαυτὸν ἐπιστρέφου. Προδήλως γὰρ σὸν τὸ ἁμάρτημα, εἴτε περὶ τοῦ τοιαύτην [τὴν] διάθεσιν ἔχοντος πίστευσας, ὅτι τὴν πίστιν φυλάξει, εἴτε τὴν χάριν διδοὺς, μὴ καταληκτικῶς ἔδωκας, μηδὲ ὥστε ἐξ αὐτῆς τῆς σῆς πράξεως εὐθὺς ἀπειληφέναι πάντα τὸν καρπόν. Τί γὰρ πλέον θέλεις εὖ ποιήσας ἄνθρωπον; οὐκ ἀρκῇ τούτῳ, ὅτι κατὰ φύσιν τὴν σήν τι ἔπραξας, ἀλλὰ τούτου μισθὸν ζητεῖς; ὡς εἰ ὁ ὀφθαλμὸς ἀμοιβὴν ἀπήτει, ὅτι βλέπει, ἢ οἱ πόδες, ὅτι βαδίζουσιν. Ὥσπερ γὰρ ταῦτα πρὸς τόδε τι γέγονεν, ἅπερ κατὰ τὴν ἰδίαν κατασκευὴν ἐνεργοῦντα ἀπέχει τὸ ἴδιον· οὕτως καὶ ὁ ἄνθρωπος εὐεργετικὸς πεφυκὼς, ὁπόταν τι εὐεργετικὸν, ἢ ἄλλως εἰς τὰ μέσα συνεργητικὸν πράξῃ, πεποίηκε, πρὸς ὃ κατεσκεύασται, καὶ ἔχει τὸ ἑαυτοῦ.

ΒΙΒΛΙΟΝ Ι.

Ἔσῃ ποτὲ ἄρ', ὦ ψυχὴ, ἀγαθὴ, καὶ ἁπλῆ, καὶ μία, καὶ γυμνὴ, φανερωτέρα τοῦ περικειμένου σοι σώματος; γεύσῃ ποτὲ ἄρα τῆς φιλητικῆς καὶ στερκτικῆς διαθέσεως; Ἔσῃ ποτὲ ἄρα πλήρης, καὶ ἀνενδεὴς, καὶ οὐδὲν ἐπιποθοῦσα, οὐδὲ ἐπιθυμοῦσα οὐδενὸς, οὔτε ἐμψύχου, οὔτε ἀψύχου, πρὸς ἡδονῶν ἀπολαύσεις; οὐδὲ χρόνου, ἐν ᾧ ἐπὶ μακρότερον ἀπολαύσεις; οὐδὲ τόπου, ἢ χώρας, ἢ ἀέρων εὐκαιρίας, οὐδὲ ἀνθρώπων εὐαρμοστίας; ἀλλὰ ἀρκεσθήσῃ τῇ παρούσῃ καταστά-

σει, καὶ ἡσθήσῃ τοῖς παροῦσι πᾶσι, καὶ συμπείσεις σεαυτὴν, ὅτι πάντα σοι πάρεστι, πάντα σοι εὖ ἔχει, καὶ παρὰ τῶν θεῶν πάρεστι, καὶ εὖ ἕξει, ὅσα φίλον αὐτοῖς, καὶ ὅσα μέλλουσι δώσειν ἐπὶ σωτηρίᾳ τοῦ τελείου ζώου, τοῦ ἀγαθοῦ, καὶ δικαίου, καὶ καλοῦ, καὶ γεννῶντος πάντα καὶ συνέχοντος, καὶ περιέχοντος, καὶ περιλαμβάνοντος διαλυόμενα εἰς γένεσιν ἑτέρων ὁμοίων; Ἔσῃ ποτὲ ἄρα τοιαύτη, οἵα θεοῖς τε καὶ ἀνθρώποις οὕτω συμπολιτεύεσθαι, ὡς μήτε μέμφεσθαί τι αὐτοῖς, μήτε καταγινώσκεσθαι ὑπ' αὐτῶν;

β΄. Παρατήρει, τί σου ἡ φύσις ἐπιζητεῖ, ὡς ὑπὸ φύσεως μόνον διοικουμένου· εἶτα ποίει αὐτὸ καὶ προσίεσο, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαί σου ἡ ὡς ζώου φύσις. Ἑξῆς δὲ παρατηρητέον, τί ἐπιζητεῖ σου ἡ ὡς ζώου φύσις. Καὶ πᾶν τοῦτο παραληπτέον, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαι ἡ ὡς ζώου λογικοῦ φύσις. Ἔστι δὲ τὸ λογικὸν εὐθὺς καὶ πολιτικόν. Τούτοις δὴ κανόσι χρώμενος, μηδὲν περιεργάζου.

γ΄. Πᾶν τὸ συμβαῖνον ἤτοι οὕτως συμβαίνει, ὡς πέφυκας αὐτὸ φέρειν, ἢ ὡς οὐ πέφυκας αὐτὸ φέρειν. Εἰ μὲν οὖν συμβαίνει σοι, ὡς πέφυκας φέρειν, μὴ δυσχέραινε· ἀλλ' ὡς πέφυκας, φέρε. Εἰ δὲ, ὡς μὴ πέφυκας φέρειν, μὴ δυσχέραινε· φθαρήσεται γάρ σε ἀπαναλῶσαν. Μέμνησο μέντοι, ὅτι πέφυκας φέρειν πᾶν, περὶ οὗ ἐπὶ τῇ ὑπολήψει ἐστὶ τῇ σῇ, φορητὸν καὶ ἀνεκτὸν αὐτὸ ποιῆσαι, κατὰ φαντασίαν τοῦ συμφέρειν, ἢ καθήκειν σεαυτῷ τοῦτο ποιεῖν.

δ΄. Εἰ μὲν σφάλλεται, διδάσκειν εὐμενῶς, καὶ τὸ

παρορώμενον δεικνύναι. Εἰ δὲ ἀδυνατεῖς, σεαυτὸν αἰτιᾶσθαι, ἢ μηδὲ σεαυτόν.

ε. Ὅ τι ἄν σοι συμβαίνῃ, τοῦτό σοι ἐξ αἰῶνος προκατεσκευάζετο· καὶ ἡ ἐπιπλοκὴ τῶν αἰτίων συνέκλωθε τήν τε σὴν ὑπόστασιν ἐξ ἀϊδίου, καὶ τὴν τούτου σύμβασιν.

ς'. Εἴτε ἄτομοι, εἴτε φύσις, πρῶτον κείσθω, ὅτι μέρος εἰμὶ τοῦ ὅλου, ὑπὸ φύσεως διοικουμένου· ἔπειτα, ὅτι ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη. Τούτων γὰρ μεμνημένος, καθότι μὲν μέρος εἰμὶ, οὐδενὶ δυσαρεστήσω τῶν ἐκ τοῦ ὅλου ἀπονεμομένων· οὐδὲν γὰρ βλαβερὸν τῷ μέρει, ὃ τῷ ὅλῳ συμφέρει. Οὐ γὰρ ἔχει τι τὸ ὅλον, ὃ μὴ συμφέρει ἑαυτῷ· πασῶν μὲν φύσεων κοινὸν ἐχουσῶν τοῦτο, τῆς δὲ τοῦ κόσμου προσειληφυίας, τὸ μηδὲ ὑπό τινος ἔξωθεν αἰτίας ἐναγκάζεσθαι βλαβερόν τι ἑαυτῇ γεννᾷν. Κατὰ μὲν δὴ τὸ μεμνῆσθαι, ὅτι μέρος εἰμὶ ὅλου τοῦ τοιούτου, εὐαρεστήσω παντὶ τῷ ἀποβαίνοντι. Καθόσον δὲ ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη, οὐδὲν πράξω ἀκοινώνητον· μᾶλλον δὲ στοχάσομαι τῶν ὁμογενῶν, καὶ πρὸς τὸ κοινῇ συμφέρον πᾶσαν ὁρμὴν ἐμαυτοῦ ἄξω, καὶ ἀπὸ τοὐναντίου ἀπάξω. Τούτων δὲ οὕτω περαινομένων, ἀνάγκη τὸν βίον εὐροεῖν· ὡς ἂν καὶ πολίτου βίον εὔρουν ἐπινοήσειας, προϊόντος διὰ πράξεων τοῖς πολίταις λυσιτελῶν, καὶ ὅπερ ἂν ἡ πόλις ἀπονέμῃ, τοῦτο ἀσπαζομένου.

ζ. Τοῖς μέρεσι τοῦ ὅλου, ὅσα φύσει περιέχεται ὑπὸ τοῦ κόσμου, ἀνάγκη φθείρεσθαι· λεγέσθω δὲ τοῦτο σημαντικῶς τοῦ ἀλλοιοῦσθαι· εἰ δὲ φύσει

κακόν τε καὶ ἀναγκαῖόν ἐστι τοῦτο αὐτοῖς, οὐκ ἂν τὸ ὅλον καλῶς διεξάγοιτο, τῶν μερῶν εἰς ἀλλοτρίωσιν ὄντων, καὶ πρὸς τὸ φθείρεσθαι διαφόρως κατεσκευασμένων. Πότερον γὰρ ἐπεχείρησεν ἡ φύσις αὐτὴ τὰ ἑαυτῆς μέρη κακοῦν, καὶ περιπτωτικὰ τῷ κακῷ, καὶ ἐξ ἀνάγκης ἔμπτωτα εἰς τὸ κακὸν ποιεῖν, ἢ ἔλαθεν αὐτὴν τοιάδε τινὰ γενόμενα; ἀμφότερα γὰρ ἀπίθανα. Εἰ δέ τις, καὶ ἀφέμενος τῆς φύσεως, κατὰ τὸ πεφυκέναι ταῦτα ἐξηγοῖτο, καὶ ὡς γελοῖον, ἅμα μὲν φάναι πεφυκέναι τὰ μέρη τοῦ ὅλου μεταβάλλειν, ἅμα δὲ ὡς ἐπί τινι τῶν παρὰ φύσιν συμβαινόντων θαυμάζειν, ἢ δυσχεραίνειν, ἄλλως τε καὶ τῆς διαλύσεως εἰς ταῦτα γινομένης, ἐξ ὧν ἕκαστον συνίσταται. Ἤτοι γὰρ σκεδασμὸς στοιχείων, ἐξ ὧν συνεκρίθη, ἢ τροπὴ, τοῦ μὲν στερεμνίου εἰς τὸ γεῶδες, τοῦ δὲ πνευματικοῦ εἰς τὸ ἀερῶδες· ὥστε καὶ ταῦτα ἀναληφθῆναι εἰς τὸν τοῦ ὅλου λόγον, εἴτε κατὰ περίοδον ἐκπυρουμένου, εἴτε ἀϊδίοις ἀμοιβαῖς ἀνανεουμένου. Καὶ τὸ στερέμνιον δὲ, καὶ τὸ πνευματικὸν μὴ φαντάζου τὸ ἀπὸ τῆς γενέσεως. Πᾶν γὰρ τοῦτο ἐχθὲς καὶ τρίτην ἡμέραν ἐκ τῶν σιτίων καὶ τοῦ ἑλκομένου ἀέρος τὴν ἐπιῤῥοὴν ἔλαβεν. Τοῦτο οὖν, ὃ ἔλαβε, μεταβάλλει, οὐχ ὃ ἡ μήτηρ ἔτεκεν. Ὑπόθου δ', ὅτι ἐκείνῳ σε λίαν προσπλέκει τῷ ἰδίως ποιῷ, οὐδὲν ὄντι οἶμαι πρὸς τὸ νῦν λεγόμενον.

η'. Ὀνόματα θέμενος σαυτῷ ταῦτα, ἀγαθὸς, αἰδήμων, ἀληθὴς, ἔμφρων, σύμφρων, ὑπέρφρων, πρόσεχε, μήποτε μετονομάζῃ· κἂν ἀπολλύῃς ταῦτα τὰ

ὀνόματα, ταχέως ἐπάνιε ἐπ᾽ αὐτά. Μέμνησο δὲ, ὅτι τὸ μὲν ἔμφρον ἐβούλετό σοι σημαίνειν τὴν ἐφ᾽ ἕκαστα διαληπτικὴν ἐπίστασιν, καὶ τὸ ἀπαρενθύμητον· τὸ δὲ σύμφρον, τὴν ἑκούσιον ἀπόδεξιν τῶν ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμομένων· τὸ δὲ ὑπέρφρον, τὴν ὑπέρτασιν τοῦ φρονοῦντος μορίου ὑπὲρ λείαν ἢ τραχεῖαν κίνησιν τῆς σαρκὸς, καὶ τὸ δοξάριον, καὶ τὸν θάνατον, καὶ ὅσα τοιαῦτα. Ἐὰν οὖν διατηρῇς σεαυτὸν ἐν τούτοις τοῖς ὀνόμασι, μὴ γλιχόμενος τοῦ ὑπ᾽ ἄλλων κατὰ ταῦτα ὀνομάζεσθαι, ἔσῃ ἕτερος, καὶ εἰς βίον εἰσελεύσῃ ἕτερον. Τὸ γὰρ ἔτι τοιοῦτον εἶναι, οἷος μέχρι νῦν γέγονας, καὶ ἐν βίῳ τοιούτῳ σπαράσσεσθαι καὶ μολύνεσθαι, λίαν ἐστὶν ἀναισθήτου καὶ φιλοψύχου, καὶ ὁμοίου τοῖς ἡμιβρώτοις θηριομάχοις, οἵτινες, μεστοὶ τραυμάτων καὶ λύθρου, παρακαλοῦσιν ὅμως εἰς τὴν αὔριον φυλαχθῆναι, παραβληθησόμενοι τοιοῦτοι τοῖς αὐτοῖς ὄνυξι καὶ δήγμασιν. Ἐμβίβασον οὖν σαυτὸν εἰς τὰ ὀλίγα ταῦτα ὀνόματα. Κἂν μὲν ἐπ᾽ αὐτῶν μένειν δύνῃ, μένε, ὥσπερ εἰς Μακάρων τινὰς νήσους μετῳκισμένος· ἐὰν δὲ αἴσθῃ, ὅτι ἐκπίπτεις, καὶ οὐ περικρατεῖς, ἄπιθι θαῤῥῶν εἰς γωνίαν τινὰ, ὅπου κρατήσεις, ἢ καὶ παντάπασιν ἔξιθι τοῦ βίου, μὴ ὀργιζόμενος, ἀλλὰ ἁπλῶς, καὶ ἐλευθέρως, καὶ αἰδημόνως, ἕν γε τοῦτο μόνον πράξας ἐν τῷ βίῳ, τὸ οὕτως ἐξελθεῖν. Πρὸς μέντοι τὸ μεμνῆσθαι τῶν ὀνομάτων μεγάλως συλλήψεταί σοι, τὸ μεμνῆσθαι θεῶν, καὶ ὅτιπερ οὐ κολακεύεσθαι οὗτοι θέλουσιν, ἀλλὰ ἐξομοιοῦσθαι ἑαυτοῖς τὰ λογικὰ πάντα· καὶ εἶναι τὴν μὲν συκῆν

τὰ συκῆς ποιοῦσαν, τὸν δὲ κύνα τὰ κυνὸς, τὴν δὲ μέλισσαν τὰ μελίσσης, τὸν δὲ ἄνθρωπον τὰ ἀνθρώπου.

θʹ. Μίμος, πόλεμος, πτοία, νάρκα, δουλεία, καθ' ἡμέραν ἀπαλείψεταί σου τὰ ἱερὰ ἐκεῖνα δόγματα, ὁπόσα ὁ φυσιολογητὸς φαντάζῃ καὶ παραπέμπεις. Δεῖ δὲ πᾶν οὕτω βλέπειν καὶ πράσσειν, ὥστε καὶ τὸ περιστατικὸν ἅμα συντελεῖσθαι, καὶ ἅμα τὸ θεωρητικὸν ἐνεργεῖσθαι, καὶ τὸ ἐκ τῆς περὶ ἑκάστων ἐπιστήμης αὔθαδες σώζεσθαι λανθάνον, οὐχὶ κρυπτόμενον. Πότε γὰρ ἁπλότητος ἀπολαύσεις; πότε δὲ σεμνότητος; πότε δὲ τῆς ἐφ' ἑκάστου γνωρίσεως, τί τε ἐστὶ κατ' οὐσίαν, καὶ τίνα χώραν ἔχει ἐν τῷ κόσμῳ, καὶ ἐπὶ πόσον πέφυκεν ὑφίστασθαι, καὶ ἐκ τίνων συγκέκριται, καὶ τίσι δύναται ὑπάρχειν, καὶ τίνες δύνανται αὐτὸ διδόναι τε καὶ ἀφαιρεῖσθαι.

ιʹ. Ἀράχνιον μυῖαν θηράσαν μέγα φρονεῖ, ἄλλος δὲ λαγίδιον, ἄλλος δὲ ὑποχῇ ἀφύην, ἄλλος δὲ σύΐδια, ἄλλος δὲ ἄρκτους, ἄλλος Σαρμάτας. Οὗτοι γὰρ οὐ λῃσταὶ, ἐὰν τὰ δόγματα ἐξετάζῃς;

ιαʹ. Πῶς εἰς ἄλληλα πάντα μεταβάλλει, θεωρητικὴν μέθοδον κτῆσαι, καὶ διηνεκῶς πρόσεχε, καὶ συγγυμνάσθητι περὶ τοῦτο τὸ μέρος. Οὐδὲν γὰρ οὕτω μεγαλοφροσύνης ποιητικόν. Ἐξεδύσατο τὸ σῶμα, καὶ ἐννοήσας, ὅτι ὅσον οὐδέπω πάντα ταῦτα καταλιπεῖν ἀπιόντα ἐξ ἀνθρώπων δεήσει, ἀνῆκεν ὅλον ἑαυτὸν, δικαιοσύνῃ μὲν εἰς τὰ ὑφ' ἑαυτοῦ ἐνεργούμενα, ἐν δὲ τοῖς ἄλλοις συμβαίνουσι, τῇ τῶν ὅλων φύσει. Τί δ' ἐρεῖ τις, ἢ ὑπολήψεται περὶ αὐτοῦ, ἢ πράξει κατ' αὐτοῦ, οὐδ' εἰς νοῦν βάλλεται,

δύο τούτοις ἀρκούμενος αὐτὸς, δικαιοπραγεῖν τὸ νῦν πρασσόμενον, καὶ φιλεῖν τὸ νῦν ἀπονεμόμενον ἑαυτῷ· ἀσχολίας δὲ πάσας καὶ σπουδὰς ἀφῆκε, καὶ οὐδὲν ἄλλο βούλεται, ἢ εὐθεῖαν περαίνειν διὰ τοῦ νόμου, καὶ εὐθεῖαν περαίνοντι ἕπεσθαι τῷ θεῷ.

ιβ΄. Τίς ὑπονοίας χρεία, παρὸν σκοπεῖν, τί δεῖ πραχθῆναι; κἂν μὲν συνορᾷς, εὐμενῶς, ἀμεταστρεπτὶ ταύτῃ χωρεῖν· ἐὰν δὲ μὴ συνορᾷς, ἐπέχειν, καὶ συμβούλοις τοῖς ἀρίστοις χρῆσθαι· ἐὰν δὲ ἕτερά τινα πρὸς ταῦτα ἀντιβαίνῃ, προϊέναι κατὰ τὰς παρούσας ἀφορμὰς λελογισμένως, ἐχόμενον τοῦ φαινομένου δικαίου. Ἄριστον γὰρ κατατυγχάνειν τούτου· ἐπεί τοι ἥ γε ἀπόπτωσις ἀπὸ τούτου ἔστω. Σχολαῖόν τι καὶ ἅμα εὐκίνητόν ἐστι, καὶ φαιδρὸν ἅμα καὶ συνεστηκὸς, ὁ τῷ λόγῳ κατὰ πᾶν ἑπόμενος.

ιγ΄. Πυνθάνεσθαι ἑαυτοῦ, εὐθὺς ἐξ ὕπνου γινόμενον, μήτι διοίσει σοι, ἐὰν ὑπὸ ἄλλου γένηται τὰ δίκαια καὶ καλῶς ἔχοντα; οὐ διοίσει. Μήτι ἐπιλέλησαι, ὅτι οὗτοι οἱ ἐν τοῖς περὶ ἄλλων ἐπαίνοις καὶ ψόγοις φρυαττόμενοι, τοιοῦτοι μὲν ἐπὶ τῆς κλίνης εἰσὶ, τοιοῦτοι δὲ ἐπὶ τῆς τραπέζης, οἷα δὲ ποιοῦσιν, οἷα δὲ φεύγουσιν, οἷα δὲ διώκουσιν, οἷα δὲ κλέπτουσιν, οἷα δὲ ἁρπάζουσιν, οὐ χερσὶ καὶ ποσὶν, ἀλλὰ τῷ τιμιωτάτῳ ἑαυτῶν μέρει, ᾧ γίνεται, ὅταν θέλῃ (τις), πίστις, αἰδὼς, ἀλήθεια, νόμος, ἀγαθὸς δαίμων;

ιδ΄. Τῇ πάντα διδούσῃ καὶ ἀπολαμβανούσῃ φύσει ὁ πεπαιδευμένος καὶ αἰδήμων λέγει· Δὸς, ὃ θέλεις, ἀπόλαβε, ὃ θέλεις. Λέγει δὲ τοῦτο

οὐ καταθρασυνόμενος, ἀλλὰ πειθαρχῶν μόνον καὶ εὐνοῶν αὐτῇ.

ιε΄. Ὀλίγον ἐστὶ τὸ ὑπολειπόμενον τοῦτο. Ζῆσον ὡς ἐν ὄρει. Οὐδὲν γὰρ διαφέρει, ἐκεῖ ἢ ὧδε, ἐάν τις πανταχοῦ, ὡς ἐν πόλει, τῷ κόσμῳ. Ἰδέτωσαν, ἱστορησάτωσαν οἱ ἄνθρωποι ἄνθρωπον ἀληθινὸν κατὰ φύσιν ζῶντα. Εἰ μὴ φέρουσιν, ἀποκτεινάτωσαν Κρεῖττον γὰρ, ἢ οὕτω ζῆν.

ιϛ΄. Μηκέθ᾽ ὅλως περὶ τοῦ, οἷόν τινα εἶναι τὸν ἀγαθὸν ἄνδρα (δεῖ), διαλέγεσθαι, ἀλλὰ εἶναι τοιοῦτον.

ιζ΄. Τοῦ ὅλου αἰῶνος, καὶ τῆς ὅλης οὐσίας συνεχῶς φαντασία, καὶ ὅτι πάντα τὰ κατὰ μέρος, ὡς μὲν πρὸς οὐσίαν, κεγχραμίς· ὡς δὲ πρὸς χρόνον, τρυπάνου περιστροφή.

ιη΄. Εἰς ἕκαστον τῶν ὑποκειμένων ἐφιστάντα, ἐπινοεῖν αὐτὸ ἤδη διαλυόμενον, καὶ ἐν μεταβολῇ, καὶ οἷον σήψει, ἢ σκεδάσει γινόμενον, ἢ καθότι ἕκαστον πέφυκεν ὥσπερ θνήσκειν.

ιθ΄. Οἷοί εἰσιν ἐσθίοντες, καθεύδοντες, ὀχεύοντες, ἀποπατοῦντες, τὰ ἄλλα. Εἶτα οἷοι ἀνδρονομούμενοι, καὶ γαυρούμενοι, ἢ χαλεπαίνοντες, καὶ ἐξ ὑπεροχῆς ἐπιπλήττοντες. Πρὸ ὀλίγου δὲ καὶ ἐδούλευον πόσοις, καὶ δι᾽ οἷα· καὶ μετ᾽ ὀλίγον ἐν τοιούτοις ἔσονται.

κ΄. Συμφέρει ἑκάστῳ, ὃ φέρει ἑκάστῳ ἡ τῶν ὅλων φύσις. Καὶ τότε συμφέρει, ὅτε ἐκείνη φέρει.

κα΄. Ἐρᾷ μὲν ὄμβρου γαῖα· ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ· ἐρᾷ δὲ ὁ κόσμος ποιῆσαι, ὃ ἂν μέλλῃ

γίνεσθαι. Λέγω οὖν τῷ κόσμῳ, ὅτι σοι συνερῶ. Μήτι δ' οὕτω κἀκεῖνο λέγεται, ὅτι Φιλεῖ τοῦτο γίνεσθαι;

κβ'. Ἤτοι ἐνταῦθα ζῇς, καὶ ἤδη εἴθικας· ἢ ἔξω ὑπάγεις, καὶ τοῦτο ἤθελες· ἢ ἀποθνήσκεις, καὶ ἀπελειτούργησας. Παρὰ δὲ ταῦτα οὐδέν. Οὐκοῦν εὐθύμει.

κγ'. Ἐναργὲς ἔστω ἀεὶ τὸ, ὅτι τοιοῦτο ἐκεῖνο ὁ ἀγρός ἐστι· καὶ πῶς πάντα ἐστὶ ταὐτὰ ἐνθάδε τοῖς ἐν ἄκρῳ τῷ ὄρει, ἢ ἐπὶ τοῦ αἰγιαλοῦ, ἢ ὅπου θέλεις. Αντικρὺς γὰρ εὑρήσεις τὰ τοῦ Πλάτωνος· σηκὸν ἐν ὄρει, φησὶ, (τὸ τεῖχος) περιβαλλόμενος, καὶ βδάλλων βοσκήματα.

κδ'. Τί ἐστί μοι τὸ ἡγεμονικόν μου; καὶ ποῖόν τι ἐγὼ αὐτὸ ποιῶ νῦν; καὶ πρὸς τί ποτε αὐτῷ νῦν χρῶμαι; μήτι κενὸν νοῦ ἐστι; μήτι ἀπόλυτον καὶ ἀπεσπασμένον κοινωνίας; μήτι προστετηκὸς καὶ ἀνακεκραμένον τῷ σαρκιδίῳ, ὥστε τούτῳ συντρέπεσθαι;

κε'. Ὁ τὸν κύριον φεύγων, δραπέτης· κύριος δὲ ὁ νόμος· καὶ ὁ παρανομῶν, δραπέτης. Ἅμα καὶ ὁ λυπούμενος, ἢ ὀργιζόμενος, ἢ φοβούμενος, ὃ βούλεταί τι γεγονέναι, ἢ γίνεσθαι, ἢ γενέσθαι τῶν ὑπὸ τοῦ τὰ πάντα διοικοῦντος τεταγμένων, ὅς ἐστι νόμος, νέμων, ὅσα ἑκάστῳ ἐπιβάλλει. Ὁ ἄρα φοβούμενος, ἢ λυπούμενος, ἢ ὀργιζόμενος, δραπέτης.

κϛ'. Σπέρμα εἰς μήτραν ἀφεὶς ἀπεχώρησε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα ἐργάζεται, καὶ ἀποτελεῖ βρέφος· ἐξ οἵου οἷον; πάλιν τροφὴν διὰ φά-

ρυγγος ἀφῆκε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα, αἴσθησιν, καὶ ὁρμὴν, καὶ τὸ ὅλον, ζωὴν, καὶ ῥώμην, καὶ ἄλλα (ὅσα καὶ οἷα;) ποιεῖ. Ταῦτα οὖν τὰ ἐν τοιαύτῃ ἐγκαλύψει γινόμενα θεωρεῖν, καὶ τὴν δύναμιν οὕτως ὁρᾷν, ὡς καὶ τὴν βρίθουσαν, καὶ τὴν ἀνωφερῆ, ὁρῶμεν, οὐχὶ τοῖς ὀφθαλμοῖς, ἀλλ' οὐχ ἧττον ἐναργῶς.

κζ. Συνεχῶς ἐπινοεῖν, πῶς πάντα τοιαῦτα, ὁποῖα νῦν γίνεται, καὶ πρόσθεν ἐγίνετο· καὶ ἐπινοεῖν γενησόμενα. Καὶ ὅλα δράματα, καὶ σκηνὰς ὁμοειδεῖς, ὅσα ἐκ πείρας τῆς σῆς, ἢ τῆς πρεσβυτέρας ἱστορίας ἔγνως, πρὸ ὀμμάτων τίθεσθαι· οἷον αὐλὴν ὅλην Ἀδριανοῦ, καὶ αὐλὴν ὅλην Ἀντωνίνου, καὶ αὐλὴν ὅλην Φιλίππου, Ἀλεξάνδρου, Κροίσου· πάντα γὰρ ἐκεῖνα τοιαῦτα ἦν, μόνον δι' ἑτέρων.

κή. Φαντάζου πάντα τὸν ἐφ' ᾡτινιοῦν λυπούμενον, ἢ δυσαρεστοῦντα, ὅμοιον τῷ θυομένῳ χοιριδίῳ καὶ ἀπολακτίζοντι καὶ κεκραγότι· ὅμοιος καὶ ὁ οἰμώζων ἐπὶ τοῦ κλινιδίου μόνος σιωπῇ τὴν ἔνδεσιν ἡμῶν· καὶ ὅτι μόνῳ τῷ λογικῷ ζώῳ δέδοται, τὸ ἑκουσίως ἕπεσθαι τοῖς γινομένοις· τὸ δὲ ἕπεσθαι ψιλὸν, πᾶσιν ἀναγκαῖον.

κθ'. Κατὰ μέρος ἐφ' ἑκάστου, ὧν ποιεῖς, ἐφιστάνων, ἐπερώτα σεαυτὸν, εἰ ὁ θάνατος δεινὸν διὰ τὸ τούτου στέρεσθαι.

λ'. Ὅταν προσκόπτῃς ἐπί τινος ἁμαρτίᾳ, εὐθὺς μεταβὰς, ἐπιλογίζου, τί παρόμοιον ἁμαρτάνεις· οἷον, ἀργύριον ἀγαθὸν εἶναι κρίνων, (ἢ) τὴν ἡδονὴν, ἢ τὸ δοξάριον, καὶ κατ' εἶδος. Τούτῳ γὰρ ἐπι-

βάλλων, ταχέως ἐπιλήσῃ τῆς ὀργῆς. συμπίπτοντος τοῦ, ὅτι βιάζεται· τί γὰρ ποιήσει; ἢ, εἰ δύνασαι, ἄφελε αὐτοῦ τὸ βιαζόμενον.

λά. Σατύρωνα ἰδὼν, Σωκρατικὸν φαντάζου, ἢ Εὐτύχην, ἢ Ὑμένα· καὶ Εὐφράτην ἰδὼν, Εὐτυχίωνα, ἢ Σιλουανὸν φαντάζου· καὶ Ἀλκίφρονα, Τροπαιοφόρον φαντάζου· καὶ Ξενοφῶντα ἰδὼν, Κρίτωνα ἢ Σεύηρον φαντάζου· καὶ εἰς ἑαυτὸν ἀπιδὼν, τῶν Καισάρων τινὰ φαντάζου, καὶ ἐφ' ἑκάστου τὸ ἀνάλογον. Εἶτα συμπροσπιπτέτω σοι· ποῦ οὖν ἐκεῖνοι; οὐδαμοῦ, ἢ ὁπουδή. Οὕτως γὰρ συνεχῶς θεάσῃ τὰ ἀνθρώπινα, καπνὸν, καὶ τὸ μηδέν· μάλιστα ἐὰν συμμνημονεύσῃς, ὅτι τὸ ἅπαξ μεταβαλὸν οὐκέτι ἔσται ἐν τῷ ἀπείρῳ χρόνῳ. Σὺ οὖν ἐν τίνι; τί δ' οὐκ ἀρκεῖ σοι τὸ βραχὺ τοῦτο κοσμίως διαπερᾶσαι; Οἵαν ὕλην καὶ ὑπόθεσιν φεύγεις; τί γάρ ἐστι πάντα ταῦτα ἄλλο, πλὴν γυμνάσματα λόγου, ἑωρακότος ἀκριβῶς καὶ φυσιολόγως τὰ ἐν τῷ βίῳ; Μένε οὖν, μέχρι ἐξοικειώσῃς σαυτῷ καὶ ταῦτα, ὡς ὁ ἐῤῥωμένος στόμαχος πάντα ἐξοικειοῖ, ὡς τὸ λαμπρὸν πῦρ, ὅ τι ἂν βάλῃς, φλόγα ἐξ αὐτοῦ καὶ αὐγὴν ποιεῖ.

λβ'. Μηδενὶ ἐξέστω εἰπεῖν ἀληθεύοντι περὶ σοῦ, ὅτι οὐχ ἁπλοῦς, ἢ ὅτι οὐκ ἀγαθός· ἀλλὰ ψευδέσθω, ὅστις τούτων τι περὶ σοῦ ὑπολήψεται· πᾶν δὲ τοῦτο ἐπὶ σοί. Τίς γὰρ ὁ κωλύσων ἀγαθὸν εἶναί σε καὶ ἁπλοῦν; σὺ μόνον κρῖνον μηκέτι ζῆν, εἰ μὴ τοιοῦτος ἔσῃ. Οὐδὲ γὰρ αἱρεῖ λόγος μὴ τοιοῦτον ὄντα.

λγ'. Τί ἐστι τὸ ἐπὶ ταύτης τῆς ὕλης δυνάμενον κατὰ τὸ ὑγιέστατον πραχθῆναι, ἢ ῥηθῆναι; ὅ τι

γὰρ ἂν τοῦτο ᾖ, ἔξεστιν αὐτὸ πρᾶξαι, ἢ εἰπεῖν· καὶ μὴ προφασίζου, ὡς κωλυόμενος. Οὐ πρότερον παύσῃ στένων, πρὶν ἢ τοῦτο πάθῃς, ὅτι, οἷόν ἐστι τοῖς ἡδυπαθοῦσιν ἡ τρυφὴ, τοιοῦτό σοι τὸ ἐπὶ τῆς ὑποβαλλομένης καὶ ὑποπιπτούσης ὕλης ποιεῖν τὰ οἰκεῖα τῇ τοῦ ἀνθρώπου κατασκευῇ· ἀπόλαυσιν γὰρ δεῖ ὑπολαμβάνειν πᾶν, ὃ ἔξεστι κατὰ τὴν ἰδίαν φύσιν ἐνεργεῖν. Πανταχοῦ δὲ ἔξεστι. Τῷ μὲν οὖν κυλίνδρῳ οὐ πανταχοῦ δίδοται φέρεσθαι τὴν ἰδίαν κίνησιν, οὐδὲ τῷ ὕδατι, οὐδὲ πυρὶ, οὐδὲ τοῖς ἄλλοις, ὅσα ὑπὸ φύσεως, ἢ ψυχῆς ἀλόγου, διοικεῖται· τὰ γὰρ διείργοντα καὶ ἐνιστάμενα πολλά. Νοῦς δὲ καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος οὕτως πορεύεσθαι δύναται, ὡς πέφυκε, καὶ ὡς θέλει. Ταύτην τὴν ῥᾳστώνην πρὸ ὀμμάτων τιθέμενος, καθ' ἣν ἐνεχθήσεται ὁ λόγος διὰ πάντων, ὡς πῦρ ἄνω, ὡς λίθος κάτω, ὡς κύλινδρος κατὰ πρανοῦς, μηκέτι μηδὲν ἐπιζήτει. Τὰ γὰρ λοιπὰ ἐγκόμματα ἤτοι τοῦ σωματικοῦ ἐστι τοῦ νεκροῦ, ἢ χωρὶς ὑπολήψεως, καὶ τῆς αὐτοῦ τοῦ λόγου ἐνδόσεως, οὐ θραύει, οὐδὲ ποιεῖ κακὸν οὐδοτιοῦν· ἐπεί τοι καὶ ὁ πάσχων αὐτὸ, κακὸς ἂν εὐθὺς ἐγίνετο. Ἐπὶ γοῦν τῶν ἄλλων κατασκευασμάτων πάντων, ὅ τι ἂν κακόν τινι αὐτῶν συμβῇ, παρὰ τοῦτο χεῖρον γίνεται αὐτὸ τὸ πάσχον· ἐνταῦθα δὲ, εἰ δεῖ εἰπεῖν, καὶ κρείττων γίνεται ὁ ἄνθρωπος, καὶ ἐπαινετώτερος, ὀρθῶς χρώμενος τοῖς προσπίπτουσιν. Ὅλως δὲ μέμνησο, ὅτι τὸν φύσει πολίτην οὐδὲν βλάπτει, ὃ πόλιν οὐ βλάπτει, οὐδέ γε πόλιν βλάπτει, ὃ νόμον οὐ βλάπτει· τούτων δὲ τῶν

καλουμένων ἀκληρημάτων οὐδὲν βλάπτει νόμον. Ὃ τοίνυν νόμον οὐ βλάπτει, οὔτε πόλιν, οὔτε πολίτην.

λδ´. Τῷ δεδηγμένῳ ὑπὸ τῶν ἀληθῶν δογμάτων ἀρκεῖ καὶ τὸ βραχύτατον, καὶ ἐν μέσῳ κείμενον εἰς ὑπόμνησιν ἀλυπίας καὶ ἀφοβίας. Οἷον·

Φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει . . . .
. . . .
Ὣς ἀνδρῶν γενεή.

Φυλλάρια δὲ καὶ τὰ τεκνία σου· φυλλάρια δὲ καὶ ταῦτα τὰ ἐπιβοῶντα ἀξιοπίστως, καὶ ἐπευφημοῦντα, ἢ ἐκ τῶν ἐναντίων καταρώμενα, ἢ ἡσυχῇ ψέγοντα καὶ χλευάζοντα· φυλλάρια δὲ ὁμοίως καὶ τὰ διαδεξόμενα τὴν ὑστεροφημίαν. Πάντα γὰρ τὰ τοιαῦτα ἔαρος ἐπιγίγνεται ὥρῃ· εἶτα ἄνεμος καταβέβληκεν· ἔπειθ' ὕλη ἕτερα ἀντὶ τούτων φύει. Τὸ δὲ ὀλιγοχρόνιον κοινὸν ἁπάντων· ἀλλὰ σὺ πάντα, ὡς αἰώνια ἐσόμενα, φεύγεις καὶ διώκεις. Μικρὸν καὶ καταμύσεις· τὸν δὲ ἐξενεγκόντα σε ἤδη ἄλλος θρηνήσει.

λέ. Τὸν ὑγιαίνοντα ὀφθαλμὸν πάντα ὁρᾷν δεῖ τὰ ὁρατὰ, καὶ μὴ λέγειν, Τὰ χλωρὰ θέλω· τοῦτο γὰρ ὀφθαλμιῶντός ἐστι. Καὶ τὴν ὑγιαίνουσαν ἀκοὴν, καὶ ὄσφρησιν, εἰς πάντα δεῖ τὰ ἀκουστὰ καὶ ὀσφραντὰ ἑτοίμην εἶναι. Καὶ τὸν ὑγιαίνοντα στόμαχον πρὸς πάντα τὰ τρόφιμα ὁμοίως ἔχειν, ὡς μύλην πρὸς πάντα, ὅσα ἀλήσουσα κατεσκεύασται. Καὶ τοίνυν τὴν ὑγιαίνουσαν διάνοιαν πρὸς πάντα δεῖ τὰ συμβαίνοντα ἑτοίμην εἶναι· ἡ δὲ λέγουσα, Τὰ τεκνία σωζέσθω, καὶ πάντες, ὅ τι ἂν πρά-

ξω, ἐπαινείτωσαν, ὀφθαλμός ἐστι, τὰ χλωρὰ ζητῶν, ἢ ὀδόντες τὰ ἁπαλά.

λς'. Οὐδείς ἐστιν οὕτως εὔποτμος, ᾧ ἀποθνήσκοντι οὐ παρεστήξονταί τινες, ἀσπαζόμενοι τὸ συμβαῖνον κακόν. Σπουδαῖος καὶ σοφὸς ἦν· μὴ τὸ πανύστατον ἔσται τις, ὃ καθ' αὑτὸν λέγων, Ἀναπνεύσωμέν ποτε ἀπὸ τούτου τοῦ παιδαγωγοῦ. Χαλεπὸς μὲν οὐδενὶ ἡμῶν ἦν, ἀλλὰ ᾐσθανόμην, ὅτι ἡσυχῇ καταγινώσκει ἡμῶν. Ταῦτα μὲν οὖν ἐπὶ τοῦ σπουδαίου. Ἐφ' ἡμῶν δὲ πόσα ἄλλα ἐστὶ, δι' ἃ πολὺς ὁ ἀπαλλακτιῶν ἡμῶν; τοῦτο οὖν ἐννοήσεις ἀποθνήσκων, καὶ εὐκολώτερον ἐξελεύσῃ, λογιζόμενος· ἐκ τοιούτου βίου ἀπέρχομαι, ἐν ᾧ αὐτοὶ οἱ κοινωνοὶ, ὑπὲρ ὧν τὰ τοσαῦτα ἠγωνισάμην, ηὐξάμην, ἐφρόντισα, αὐτοὶ ἐκεῖνοι ἐθέλουσί με ὑπάγειν, ἄλλην τινὰ τυχὸν ἐκ τούτου ῥαστώνην ἐλπίζοντες. Τί ἂν οὖν τις ἀντέχοιτο τῆς ἐνταῦθα μακροτέρας διατριβῆς. Μὴ μέντοι διὰ τοῦτο ἔλαττον εὐμενὴς αὐτοῖς ἄπιθι, ἀλλὰ τὸ ἴδιον ἔθος διασώζων, φίλος, καὶ εὔνους, καὶ ἵλεως, καὶ μὴ πάλιν ὡς ἀποσπώμενος· ἀλλ', ὥσπερ ἐπὶ τοῦ εὐθανατοῦντος εὐκόλως τὸ ψυχάριον ἀπὸ τοῦ σώματος ἐξειλεῖται, τοιαύτην καὶ τὴν ἀπὸ τούτων ἀποχώρησιν δεῖ γενέσθαι· καὶ γὰρ τούτοις ἡ φύσις (σε) συνῆψε, καὶ συνέκρινεν. Ἀλλὰ νῦν διαλύει; διαλύομαι, ὡς ἀπὸ οἰκείων μὲν, οὐ μὴν ἀνθελκόμενος, ἀλλ' ἀβιάστως· ἓν γὰρ καὶ τοῦτο τῶν κατὰ φύσιν.

λζ'. Ἔθισον ἐπὶ παντὸς, ὡς οἷόν τε, τοῦ πρασσομένου ὑπό τινος, ἐπιζητεῖν κατὰ σαυτόν· Οὗτος

τοῦτο ἐπὶ τίνα φέρει; Ἄρχου δὲ ἀπὸ σαυτοῦ, καὶ σαυτὸν πρῶτον ἐξέταζε.

λη'. Μέμνησο, ὅτι τὸ νευροσπαστοῦν ἐστιν ἐκεῖνο, τὸ ἔνδον ἐγκεκρυμμένον· ἐκεῖνο ῥητορεία, ἐκεῖνο ζωὴ, ἐκεῖνο, εἰ δεῖ εἰπεῖν, ἄνθρωπος. Μηδέποτε συμπεριφαντάζου τὸ περικείμενον ἀγγειῶδες, καὶ τὰ ὀργάνια ταῦτα τὰ περιπεπλασμένα. Ὅμοια γάρ ἐστι σκεπάρνῳ, μόνον διαφέροντα, καθότι προσφυῆ ἐστιν. Ἐπεί τοι οὐ μᾶλλόν τι τούτων ὄφελός ἐστι τῶν μορίων, χωρὶς τῆς κινούσης καὶ ἰσχούσης αὐτὰ αἰτίας, ἢ τῆς κερκίδος τῇ ὑφαντρίᾳ, καὶ τοῦ καλάμου τῷ γράφοντι, καὶ τοῦ μαστιγίου τῷ ἡνιόχῳ.

ΒΙΒΛΙΟΝ ΙΑ.

Τὰ ἴδια τῆς λογικῆς ψυχῆς· ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν, ὁποίαν ἂν βούληται, ποιεῖ, τὸν καρπὸν, ὃν φέρει, αὐτὴ καρποῦται (τοὺς γὰρ τῶν φυτῶν καρποὺς, καὶ τὸ ἀνάλογον ἐπὶ τῶν ζώων, ἄλλοι καρποῦνται), τοῦ ἰδίου τέλους τυγχάνει, ὅπου ἂν τὸ τοῦ βίου πέρας ἐπιστῇ. Οὐχ, ὥσπερ ἐπὶ ὀρχήσεως καὶ ὑποκρίσεως, καὶ τῶν τοιούτων, ἀτελὴς γίνεται ἡ ὅλη πρᾶξις, ἐάν τι ἐγκόψῃ· ἀλλ' ἐπὶ παντὸς μέρους, καὶ ὅπου ἂν καταληφθῇ, πλῆρες καὶ ἀπροσδεὲς ἑαυτῇ τὸ προτεθὲν ποιεῖ· ὥστε εἰπεῖν, Ἐγὼ ἀπέχω τὰ ἐμά. Ἔτι δὲ περιέρχεται τὸν ὅλον κόσμον, καὶ τὸ περὶ αὐτὸν κενὸν, καὶ τὸ σχῆμα αὐτοῦ, καὶ εἰς τὴν ἀπειρίαν τοῦ αἰῶνος ἐκτείνεται, καὶ τὴν περιοδικὴν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμ-

βάνει, καὶ περινοεῖ, καὶ θεωρεῖ, ὅτι οὐδὲν νεώτερον ὄψονται οἱ μεθ' ἡμᾶς, οὐδὲ περιττότερον εἶδον οἱ πρὸ ἡμῶν· ἀλλὰ τρόπον τινὰ ὁ τεσσαρακοντούτης, ἐὰν νοῦν ὁποσονοῦν ἔχῃ, πάντα τὰ γεγονότα καὶ τὰ ἐσόμενα ἑώρακε κατὰ τὸ ὁμοειδές. Ἴδιον δὲ λογικῆς ψυχῆς, καὶ τὸ φιλεῖν τοὺς πλησίον, καὶ ἀλήθεια, καὶ αἰδώς, καὶ τὸ μηδὲν ἑαυτῆς προτιμᾶν, ὅπερ ἴδιον καὶ νόμου. Οὕτως ἄρ' οὐδὲν διήνεγκε λόγος ὀρθὸς, καὶ λόγος δικαιοσύνης.

β'. Ὠδῆς ἐπιτερποῦς, καὶ ὀρχήσεως καὶ παγκρατίου καταφρονήσεις, ἐὰν τὴν μὲν ἐμμελῆ φωνὴν καταμερίσῃς εἰς ἕκαστον τῶν φθόγγων, καὶ καθ' ἕνα πύθῃ σεαυτοῦ, εἰ τούτου ἥττων εἶ· διατραπήσῃ γάρ· ἐπὶ δὲ ὀρχήσεως τὸ ἀνάλογον ποίησας καθ' ἑκάστην κίνησιν, ἢ σχέσιν· τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ παγκρατίου. Ὅλως οὖν, χωρὶς ἀρετῆς καὶ τῶν ἀπ' ἀρετῆς, μέμνησο ἐπὶ τὰ κατὰ μέρος τρέχειν, καὶ τῇ διαιρέσει αὐτῶν εἰς καταφρόνησιν ἰέναι· τὸ δ' αὐτὸ καὶ ἐπὶ τὸν βίον ὅλον μετάφερε.

γ'. Οἵα ἐστὶν ἡ ψυχὴ ἡ ἕτοιμος, ἐὰν ἤδη ἀπολυθῆναι δέῃ τοῦ σώματος, καὶ ἤτοι σβεσθῆναι, ἢ σκεδασθῆναι, ἢ συμμεῖναι. Τὸ δὲ ἕτοιμον τοῦτο, ἵνα ἀπὸ ἰδικῆς κρίσεως ἔρχηται, μὴ κατὰ ψιλὴν παράταξιν, ὡς οἱ Χριστιανοὶ, ἀλλὰ λελογισμένως, καὶ σεμνῶς, καὶ ὥστε καὶ ἄλλον πεῖσαι, ἀτραγῴδως.

δ'. Πεποίηκά τι κοινωνικῶς; οὐκοῦν ὠφέλημαι· τοῦτο ἵνα ἀεὶ πρόχειρον ἀπαντᾷ· καὶ μηδαμοῦ παύου.

ε'. Τίς σου ἡ τέχνη; ἀγαθὸν εἶναι. Τοῦτο δὲ πῶς

κολῶς γίνεται ἡ ἐκ θεωρημάτων, τῶν μὲν περὶ τῆς τοῦ ὅλου φύσεως, τῶν δὲ περὶ τῆς ἰδίας τοῦ ἀνθρώπου κατασκευῆς;

ϛ΄. Πρῶτον αἱ τραγῳδίαι παρήχθησαν ὑπομνηστικαὶ τῶν συμβαινόντων, καὶ ὅτι ταῦτα οὕτω πέφυκε γίνεσθαι, καὶ ὅτι, οἷς ἐπὶ τῆς σκηνῆς ψυχαγωγεῖσθε, τούτοις μὴ ἄχθεσθε ἐπὶ τῆς μείζονος σκηνῆς. Ὁρᾶτε γὰρ, ὅτι οὕτω δεῖ ταῦτα περαίνεσθαι, καὶ ὅτι φέρουσιν αὐτὰ καὶ οἱ κεκραγότες· Ἰὼ Κιθαιρών. Καὶ λέγεται δέ τινα ὑπὸ τῶν τὰ δράματα ποιούντων χρησίμως· οἷόν ἐστιν ἐκεῖνο μάλιστα,

Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ,
Ἔχει λόγον καὶ τοῦτο·

καὶ πάλιν,

Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι (χρεών)·

καὶ,

Βίον θερίζειν ὥστε κάρπιμον στάχυν·

καὶ ὅσα τοιαῦτα. Μετὰ δὲ τὴν τραγῳδίαν ἡ ἀρχαία κωμῳδία παρήχθη, παιδαγωγικὴν παῤῥησίαν ἔχουσα, καὶ τῆς ἀτυφίας οὐκ ἀχρήστως δι' αὐτῆς τῆς εὐθυῤῥημοσύνης ὑπομιμνήσκουσα· πρὸς οἷόν τι καὶ Διογένης ταυτὶ παρελάμβανε. Μετὰ ταῦτα τίς ἡ μέση κωμῳδία, καὶ λοιπὸν ἡ νέα πρός τί ποτε παρείληπται, ἢ κατ' ὀλίγον ἐπὶ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπεῤῥύη, ἐπίστησον. Ὅτι μὲν γὰρ λέγεται καὶ ὑπὸ τούτων τινὰ χρήσιμα, οὐκ ἀγνοεῖται· ἀλλὰ ἡ ὅλη ἐπιβολὴ τῆς τοιαύτης ποιήσεως καὶ δραματουργίας πρὸς τίνα ποτὲ σκοπὸν ἀπέβλεψε;

ζ΄. Πῶς ἐναργὲς προσπίπτει τὸ μὴ εἶναι ἄλλην

βίου ὑπόθεσιν εἰς τὸ φιλοσοφεῖν οὕτως ἐπιτήδειον, ὡς ταύτην, ἐν ᾗ νῦν ὢν τυγχάνεις;

η΄. Κλάδος, τοῦ προσεχοῦς κλάδου ἀποκοπεὶς, οὐ δύναται μὴ καὶ τοῦ ὅλου φυτοῦ ἀποκεκόφθαι. Οὕτω δὴ καὶ ἄνθρωπος, ἑνὸς ἀνθρώπου ἀποσχισθεὶς, ὅλης τῆς κοινωνίας ἀποπέπτωκε. Κλάδον μὲν οὖν ἄλλος ἀποκόπτει· ἄνθρωπος δὲ αὐτὸς ἑαυτὸν τοῦ πλησίον χωρίζει, μισήσας καὶ ἀποστραφεὶς, ἀγνοεῖ δὲ, ὅτι καὶ τοῦ ὅλου πολιτεύματος ἅμα ἀποτέτμηκεν ἑαυτόν. Πλὴν ἐκεῖνό γε δῶρον τοῦ συστησαμένου τὴν κοινωνίαν Διός: ἔξεστι γὰρ πάλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, καὶ πάλιν τοῦ ὅλου συμπληρωτικοῖς γενέσθαι. Πλεονάκις μέντοι γινόμενον τὸ κατὰ τὴν τοιαύτην διαίρεσιν, δυσένωτον καὶ δυσαποκατάστατον τὸ ἀποχωροῦν ποιεῖ. Ὅλως τε οὐχ ὅμοιος ὁ κλάδος, ὁ ἀπ' ἀρχῆς συμβλαστήσας, καὶ σύμπνους συμμείνας, τῷ μετὰ τὴν ἀποκοπὴν αὖθις ἐγκεντρισθέντι, ὅ τί ποτε λέγουσιν οἱ φυτουργοί: Ὁμοθαμνεῖν μὲν, μὴ ὁμοδογματεῖν δέ.

θ΄. Οἱ ἐνιστάμενοι προϊόντι σοι κατὰ τὸν ὀρθὸν λόγον, ὥσπερ ἀπὸ τῆς ὑγιοῦς πράξεως ἀποτρέψαι σε οὐ δυνήσονται, οὕτως μηδὲ τῆς πρὸς αὐτοὺς εὐμενείας ἐκκρουέτωσαν· ἀλλὰ φύλασσε σεαυτὸν ἐπ' ἀμφοτέρων ὁμοίως, μὴ μόνον ἐπὶ τῆς εὐσταθοῦς κρίσεως καὶ πράξεως, ἀλλὰ καὶ ἐπὶ τῆς πρὸς τοὺς κωλύειν ἐπιχειροῦντας, ἢ ἄλλως δυσχεραίνοντας, πρᾳότητος. Καὶ γὰρ τοῦτο ἀσθενὲς, τὸ χαλεπαίνειν αὐτοῖς, ὥσπερ τὸ ἀποστῆναι τῆς πράξεως, καὶ ἐνδοῦναι καταπλαγέντα· ἀμφότεροι γὰρ ἐπίσης λειπο-

τάκται, ὁ μὲν ὑποτμήσας, ὁ δὲ ἀλλοτριωθεὶς πρὸς τὸν φύσει συγγενῆ καὶ φίλον.

ί. Οὐκ ἔστι χείρων οὐδεμία φύσις τέχνης· καὶ γὰρ αἱ τέχναι τὰς φύσεις μιμοῦνται. Εἰ δὲ τοῦτο, ἡ πασῶν τῶν ἄλλων τελεωτάτη καὶ περιληπτικωτάτη φύσις οὐκ ἂν ἀπολείποιτο τῆς τεχνικῆς εὐμηχανίας. Πᾶσαι δέ γε τέχναι τῶν κρειττόνων ἕνεκεν τὰ χείρω ποιοῦσιν· οὐκοῦν καὶ ἡ κοινὴ φύσις. Καὶ δὴ ἔνθεν μὲν γένεσις δικαιοσύνης, ἀπὸ δὲ ταύτης αἱ λοιπαὶ ἀρεταὶ ὑφίστανται: οὐ γὰρ τηρηθήσεται τὸ δίκαιον, ἐὰν ἤτοι διαφερώμεθα πρὸς τὰ μέσα, ἢ εὐεξαπάτητοι καὶ προπτωτικοὶ καὶ μεταπτωτικοὶ ὦμεν.

ιά. Εἰ οὐκ ἔρχεται ἐπὶ σὲ τὰ πράγματα, ὧν αἱ διώξεις καὶ φυγαὶ θορυβοῦσί σε, ἀλλὰ τρόπον τινὰ αὐτὸς ἐπ' ἐκεῖνα ἔρχῃ: τὸ γοῦν κρίμα τὸ περὶ αὐτῶν ἡσυχαζέτω, κἀκεῖνα μενεῖ ἀτρεμοῦντα, καὶ οὔτε διώκων οὔτε φεύγων ὀφθήσῃ.

ιβ'. Σφαῖρα ψυχῆς αὐτοειδὴς, ὅταν μήτε ἐκτείνηται ἐπί τι, μήτε ἔσω συντρέχῃ, μήτε σπείρηται, μήτε συνιζάνῃ, ἀλλὰ φωτὶ λάμπηται, ᾧ τὴν ἀλήθειαν ὁρᾷ τὴν πάντων, καὶ τὴν ἐν αὐτῇ.

ιγ'. Καταφρονήσει μου τίς; ὄψεται. Ἐγὼ δὲ ὄψομαι, ἵνα μή τι καταφρονήσεως ἄξιον πράσσων ἢ λέγων εὑρίσκωμαι. Μισήσει; ὄψεται. Ἀλλὰ ἐγὼ εὐμενὴς καὶ εὔνους παντὶ, καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, οὐκ ὀνειδιστικῶς, οὐδὲ ὡς κατεπιδεικνύμενος, ὅτι ἀνέχομαι, ἀλλὰ γνησίως καὶ χρηστῶς, οἷος ὁ Φωκίων ἐκεῖνος, εἴ γε μὴ προσεποιεῖτο. Τὰ ἔσω γὰρ δεῖ τοιαῦτα εἶναι, καὶ ὑπὸ τῶν

θεῶν βλέπεσθαι ἄνθρωπον πρὸς μηδὲν ἀγανακτικῶς διατιθέμενον, μηδὲ δεινοπαθοῦντα. Τί γάρ σοι κακὸν, εἰ αὐτὸς νῦν ποιεῖς τὸ τῇ φύσει σου οἰκεῖον, καὶ δέχῃ τὸ νῦν τῇ τῶν ὅλων φύσει εὔκαιρον, ἄνθρωπος τεταγμένος πρὸς τὸ γίνεσθαι δι᾽ ὅτου δὴ κοινῇ συμφέρον;

ιδʹ. Ἀλλήλων καταφρονοῦντες, ἀλλήλοις ἀρεσκεύονται, καὶ ἀλλήλων ὑπερέχειν θέλοντες, ἀλλήλοις ὑποκατακλίνονται.

ιεʹ. Ὡς σαπρὸς καὶ κίβδηλος ὁ λέγων· Ἐγὼ προῄρημαι ἁπλῶς σοι προσφέρεσθαι; Τί ποιεῖς, ἄνθρωπε; τοῦτο οὐ δεῖ προλέγειν. Αὐτὸ φανήσεται· ἐπὶ τοῦ μετώπου γεγράφθαι ὀφείλει εὐθὺς ἡ φωνή. Τοιοῦτον ἔχει, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει, ὡς τῶν ἐραστῶν ἐν τῷ βλέμματι πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος. Τοιοῦτον ὅλως δεῖ τὸν ἁπλοῦν καὶ ἀγαθὸν εἶναι, οἷον γράσωνα, ἵνα ὁ παραστὰς, ἅμα τῷ προσελθεῖν, θέλει οὐ θέλει, αἴσθηται. Ἐπιτήδευσις δὲ ἁπλότητος σκάλμη ἐστίν. Οὐδέν ἐστιν αἴσχιον λυκοφιλίας. Πάντων μάλιστα τοῦτο φεῦγε. Ὁ ἀγαθὸς, καὶ ἁπλοῦς, καὶ εὐμενὴς, ἐν τοῖς ὄμμασιν ἔχουσι ταῦτα, καὶ οὐ λανθάνει.

ιςʹ. Κάλλιστα διαζῆν, δύναμις αὕτη ἐν τῇ ψυχῇ, ἐὰν πρὸς τὰ ἀδιάφορα ἀδιαφορῇ. Ἀδιαφορήσει δὲ, ἐὰν ἕκαστον αὐτῶν θεωρῇ διῃρημένως, καὶ ὁλικῶς, καὶ μεμνημένος, ὅτι οὐδὲν αὐτῶν ὑπόληψιν περὶ αὐτοῦ ἡμῖν ἐμποιεῖ, οὐδὲ ἔρχεται ἐφ᾽ ἡμᾶς· ἀλλὰ τὰ μὲν ἀτρεμεῖ, ἡμεῖς δὲ ἐσμὲν, οἱ τὰς περὶ αὐτῶν κρίσεις γεννῶντες, καὶ οἷον γράφοντες ἐν ἑαυτοῖς, ἐξὸν

μὲν μὴ γράφειν, ἐξὸν δὲ, κἂν που λάθῃ, εὐθὺς ἐξαλεῖψαι· ὅτι ὀλίγου χρόνου ἔσται ἡ τοιαύτη προσοχὴ, καὶ λοιπὸν πεπαύσεται ὁ βίος. Τί μέντοι δύσκολον ἄλλως ἔχει ταῦτα; Εἰ μὲν γὰρ κατὰ φύσιν ἐστὶ, χαῖρε αὐτοῖς, καὶ ῥᾴδια ἔστω σοι· εἰ δὲ παρὰ φύσιν, ζήτει, τί ἐστί σοι κατὰ τὴν σὴν φύσιν, καὶ ἐπὶ τοῦτο σπεῦδε, κἂν ἄδοξον ᾖ· παντὶ γὰρ συγγνώμη, τὸ ἴδιον ἀγαθὸν ζητοῦντι.

ιζ'. Πόθεν ἐλήλυθεν ἕκαστον, καὶ ἐκ τίνων ἕκαστον ὑποκειμένων, καὶ εἰς τί μεταβάλλει, καὶ οἷον ἔσται μεταβαλὸν, καὶ ὡς οὐδὲν κακὸν πείσεται.

ιή. Καὶ πρῶτον, τίς ἡ πρὸς αὐτούς μοι σχέσις· καὶ ὅτι ἀλλήλων ἕνεκεν γεγόναμεν· καὶ καθ' ἕτερον λόγον, προστησόμενος αὐτῶν γέγονα, ὡς κριὸς ποίμνης, ἢ ταῦρος ἀγέλης. Ἄνωθεν δὲ ἔπιθι, ἀπὸ τοῦ, Εἰ μὴ ἄτομοι, φύσις ἡ τὰ ὅλα διοικοῦσα· εἰ τοῦτο, τὰ χείρονα τῶν κρειττόνων ἕνεκεν, ταῦτα δὲ ἀλλήλων.

Δεύτερον δὲ, ὁποῖοί τινές εἰσιν ἐπὶ τῆς τραπέζης, ἐν τῷ κλιναρίῳ, τἄλλα· μάλιστα δὲ, οἵας ἀνάγκας δογμάτων κειμένας ἔχουσιν· καὶ αὐτὰ δὲ ταῦτα μεθ' οἵου τύφου ποιοῦσι.

Τρίτον, ὅτι, εἰ μὲν ὀρθῶς ταῦτα ποιοῦσιν, οὐ δεῖ δυσχεραίνειν· εἰ δ' οὐκ ὀρθῶς, δηλονότι ἄκοντες καὶ ἀγνοοῦντες. Πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται, ὥσπερ τοῦ ἀληθοῦς, οὕτως καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ προσφέρεσθαι. Ἄχθονται γοῦν ἀκούοντες ἄδικοι, καὶ ἀγνώμονες, καὶ πλεονέκται, καὶ καθάπαξ ἁμαρτητικοὶ περὶ τοὺς πλησίον.

Τέταρτον, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνεις, καὶ ἄλλος τοιοῦτος εἶ· καὶ εἴ τινων δὲ ἁμαρτημάτων ἀπέχῃ, ἀλλὰ τήν γε ἕξιν ποιητικὴν ἔχεις, εἰ καὶ διὰ δειλίαν, ἢ δοξοκοπίαν, ἢ τοιοῦτό τι κακὸν, ἀπέχῃ τῶν ὁμοίων ἁμαρτημάτων.

Πέμπτον, ὅτι οὐδὲ, εἰ ἁμαρτάνουσι, κατείληφας· πολλὰ γὰρ καὶ κατ᾽ οἰκονομίαν γίνεται. Καὶ ὅλως πολλὰ δεῖ πρότερον μαθεῖν, ἵνα τις περὶ ἀλλοτρίας πράξεως καταληπτικῶς τι ἀποφήνηται.

Ἕκτον, ὅτι, ὅταν λίαν ἀγανακτῇς, ἢ καὶ δυσπαθῇς, ἀκαριαῖος ὁ ἀνθρώπειος βίος, καὶ μετ᾽ ὀλίγον πάντες ἐξετάθημεν.

Ἕβδομον, ὅτι οὐχ αἱ πράξεις αὐτῶν ἐνοχλοῦσιν ἡμῖν· ἐκεῖναί γάρ εἰσιν ἐν τοῖς ἐκείνων ἡγεμονικοῖς· ἀλλὰ αἱ ἡμέτεραι ὑπολήψεις. Ἆρον γοῦν, καὶ θέλησον ἀφεῖναι τὴν ὡς περὶ δεινοῦ κρίσιν, καὶ ἀπῆλθεν ἡ ὀργή. Πῶς οὐκ ἄρῃς; Λογισάμενος, ὅτι οὐκ αἰσχρόν· ἐὰν γὰρ μὴ μόνον ᾖ τὸ αἰσχρὸν κακὸν, ἀνάγκη καὶ σὲ πολλὰ ἁμαρτάνειν, καὶ λῃστὴν καὶ παντοῖον γίνεσθαι.

Ὄγδοον, ὅσῳ χαλεπώτερα ἐπιφέρουσιν αἱ ὀργαὶ καὶ λῦπαι, αἱ ἐπὶ τοῖς τοιούτοις, ἤπερ αὐτά ἐστιν, ἐφ᾽ οἷς ὀργιζόμεθα καὶ λυπούμεθα.

Ἔνατον, ὅτι τὸ εὐμενὲς ἀνίκητον, ἐὰν γνήσιον ᾖ, καὶ μὴ σεσηρὸς, μηδὲ ὑπόκρισις. Τί γάρ σοι ποιήσει ὁ ὑβριστικώτατος, ἐὰν διατελῇς εὐμενὴς αὐτῷ, καὶ, εἰ οὕτως ἔτυχε, πράως παραινῇς καὶ μεταδιδάσκῃς εὐσχολῶν παρ᾽ αὐτὸν ἐκεῖνον τὸν καιρὸν, ὅτε κακὰ ποιεῖν σε ἐπιχειρεῖ, Μή, τέκνον· πρὸς

ἄλλο πεφύκαμεν. Ἐγὼ μὲν οὐ μὴ βλαβῶ, σὺ δὲ βλάπτῃ, τέκνον. Καὶ δεικνύναι εὐαφῶς καὶ ὁλικῶς, ὅτι τοῦτο οὕτως ἔχει, ὅτι οὐδὲ μέλισσαι αὐτὸ ποιοῦσιν, οὐδ᾽ ὅσα συναγελαστικὰ πέφυκε. Δεῖ δὲ μήτε εἰρωνικῶς αὐτὸ ποιεῖν, μήτε ὀνειδιστικῶς, ἀλλὰ φιλοστόργως καὶ ἀδήκτως τῇ ψυχῇ· καὶ μὴ ὡς ἐν σχολῇ, μηδὲ ἵνα ἄλλος παραστὰς θαυμάσῃ· ἀλλ᾽ ἤτοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοι τινὲς περιεστήκωσι. . . . .

Τούτων τῶν ἐννέα κεφαλαίων μέμνησο, ὡς παρὰ τῶν Μουσῶν δῶρα εἰληφώς· καὶ ἄρξαι ποτὲ ἄνθρωπος εἶναι, ἕως ζῇς. Φυλακτέον δὲ ἐπίσης τῷ ὀργίζεσθαι αὐτοῖς, τὸ κολακεύειν αὐτούς· ἀμφότερα γὰρ ἀκοινώνητα, καὶ πρὸς βλάβην φέρει. Πρόχειρον δὲ ἐν ταῖς ὀργαῖς, ὅτι οὐχὶ τὸ θυμοῦσθαι ἀνδρικὸν, ἀλλὰ τὸ πρᾶον καὶ ἥμερον, ὥσπερ ἀνθρωπικώτερον, οὕτω καὶ ἀῤῥενικώτερον· καὶ ἰσχύος καὶ νεύρων καὶ ἀνδρείας τούτῳ μέτεστιν, οὐχὶ τῷ ἀγανακτοῦντι καὶ δυσαρεστοῦντι. Ὅσῳ γὰρ ἀπαθείᾳ τοῦτο οἰκειότερον, τοσούτῳ καὶ δυνάμει. Ὥσπερ τε ἡ λύπη ἀσθενοῦς, οὕτως καὶ ἡ ὀργή. Ἀμφότεροι γὰρ τέτρωνται, καὶ ἐνδεδώκασιν.

Εἰ δὲ βούλει, καὶ δέκατον παρὰ τοῦ Μουσηγέτου δῶρον λάβε, ὅτι τὸ μὴ ἀξιοῦν ἁμαρτάνειν τοὺς φαύλους μανικόν· ἀδυνάτου γὰρ ἐφίεται. Τὸ δὲ συγχωρεῖν ἄλλοις μὲν εἶναι τοιούτους, ἀξιοῦν δὲ, μὴ εἰς σὲ ἁμαρτάνειν, ἄγνωμον καὶ τυραννικόν.

ιθ'. Τέσσαρας μάλιστα τροπὰς τοῦ ἡγεμονικοῦ παραφυλακτέον διηνεκῶς, καὶ ἐπειδὰν φωράσῃς, ἀπ-

αλειπτέον, ἐπιλέγοντα ἐφ' ἑκάστου οὕτως· Τοῦτο τὸ φάντασμα οὐκ ἀναγκαῖον· τοῦτο λυτικὸν κοινωνίας· τοῦτο οὐκ ἀπὸ σαυτοῦ μέλλεις λέγειν· τὸ γὰρ μὴ ἀφ' ἑαυτοῦ λέγειν ἐν τοῖς ἀτοπωτάτοις νόμιζε. Τέταρτον δέ ἐστι, καθ' ὃ σεαυτῷ ὀνειδιεῖς, ὅτι τοῦτο ἡττωμένου ἐστὶ καὶ ὑποκατακλινομένου τοῦ ἐν σοὶ θειοτέρου μέρους τῇ ἀτιμωτέρᾳ καὶ θνητῇ μοίρᾳ τῇ τοῦ σώματος, καὶ ταῖς τούτου παχείαις ἡδοναῖς.

κ'. Τὸ μὲν πνευμάτιόν σου, καὶ τὸ πυρῶδες πᾶν, ὅσον ἐγκέκραται, καίτοι φύσει ἀνωφερῆ ὄντα, ὅμως πειθόμενα τῇ τῶν ὅλων διατάξει, παρακρατεῖται ἐνταῦθα ἐπὶ τοῦ συγκρίματος. Καὶ τὸ γεῶδες δὲ τὸ ἐν σοὶ πᾶν, καὶ τὸ ὑγρὸν, καίτοι κατωφερῆ ὄντα, ὅμως ἐγήγερται καὶ ἕστηκε τὴν οὐχ ἑαυτῶν φυσικὴν στάσιν. Οὕτως ἄρα καὶ τὰ στοιχεῖα ὑπακούει τοῖς ὅλοις, ἐπειδάν που καταταχθῇ, σὺν βίᾳ μένοντα, μέχρις ἂν ἐκεῖθεν πάλιν τὸ ἐνδόσιμον τῆς διαλύσεως σημήνῃ. Οὐ δεινὸν οὖν, μόνον τὸ νοερόν σου μέρος ἀπειθὲς εἶναι καὶ ἀγανακτεῖν τῇ ἑαυτοῦ χώρᾳ; καίτοι οὐδέν γε βίαιον τούτῳ ἐπιτάσσεται, ἀλλ' ὃ μόνα κατὰ φύσιν ἐστὶν αὐτῷ· οὐ μέντοι ἀνέχεται, ἀλλὰ τὴν ἐναντίαν φέρεται. Ἡ γὰρ ἐπὶ τὰ ἀδικήματα, καὶ τὰ ἀκολαστήματα, καὶ τὰς ὀργὰς, καὶ τὰς λύπας, καὶ τοὺς φόβους κίνησις, οὐδὲν ἄλλο ἐστὶν, ἢ ἀφισταμένου τῆς φύσεως. Καὶ ὅταν δέ τινι τῶν συμβαινόντων δυσχεραίνῃ τὸ ἡγεμονικὸν, καταλείπει καὶ τότε τὴν ἑαυτοῦ χώραν. Πρὸς ὁσιότητα γὰρ καὶ θεοσέβειαν κατεσκεύασται, οὐχ ἧττον, ἢ πρὸς δικαιο-

σύνην. Καὶ γὰρ ταῦτα ἐν εἴδει ἐστὶ τῆς εὐκοινωνησίας, μᾶλλον δὲ πρεσβύτερα τῶν δικαιοπραγημάτων.

κα'. Ὧι μὴ εἷς καὶ ὁ αὐτός ἐστιν ἀεὶ τοῦ βίου σκοπός, οὗτος εἷς καὶ ὁ αὐτὸς δι' ὅλου τοῦ βίου εἶναι οὐ δύναται. Οὐκ ἀρκεῖ δὲ τὸ εἰρημένον, ἐὰν μὴ κἀκεῖνο προσθῇς, ὁποῖον εἶναι δεῖ τοῦτον τὸν σκοπόν. Ὥσπερ γὰρ οὐχ ἡ πάντων τῶν ὁπωσοῦν τοῖς πλείοσι δοκούντων ἀγαθῶν ὑπόληψις ὁμοία ἐστὶν, ἀλλ' ἡ τῶν τοιῶνδέ τινων, τουτέστι τῶν κοινῶν· οὕτω καὶ τὸν σκοπὸν δεῖ τὸν κοινωνικὸν καὶ πολιτικὸν ὑποστήσασθαι. Ὁ γὰρ εἰς τοῦτον πάσας τὰς ἰδίας ὁρμὰς ἀπευθύνων, πάσας τὰς πράξεις ὁμοίας ἀποδώσει, καὶ κατὰ τοῦτο ἀεὶ ὁ αὐτὸς ἔσται.

κβ'. Τὸν μῦν τὸν ὀρεινὸν, καὶ τὸν κατοικίδιον, καὶ τὴν πτοίαν τούτου καὶ διασόβησιν.

κγ'. Σωκράτης καὶ τὰ τῶν πολλῶν δόγματα Λαμίας ἐκάλει, παιδίων δείματα.

κδ'. Λακεδαιμόνιοι τοῖς μὲν ξένοις ἐν ταῖς θεωρίαις ὑπὸ τῇ σκιᾷ τὰ βάθρα ἐτίθεσαν· αὐτοὶ δὲ, οὗ ἔτυχεν, ἐκαθέζοντο.

κε'. Τῷ Περδίκκᾳ ὁ Σωκράτης περὶ τοῦ μὴ ἔρχεσθαι παρ' αὐτὸν, Ἵνα, ἔφη, μὴ τῷ κακίστῳ ὀλέθρῳ ἀπόλωμαι, τουτέστι, μὴ εὖ παθὼν οὐ δυνηθῶ ἀντευποιῆσαι.

κς'. Ἐν τοῖς τῶν Ἐφεσίων γράμμασι παράγγελμα ἔκειτο, συνεχῶς ὑπομιμνήσκεσθαι τῶν παλαιῶν τινὸς τῶν ἀρετῇ χρησαμένων.

κζ'. Οἱ Πυθαγόρειοι, ἕωθεν εἰς τὸν οὐρανὸν

ἀφορᾷν, ἵν' ὑπομιμνησκώμεθα τῶν ἀεὶ τὰ αὐτὰ καὶ ὡσαύτως τὸ ἑαυτῶν ἔργον διανυόντων, καὶ τῆς καθαρότητος, καὶ τῆς γυμνότητος. Οὐδὲν γὰρ προκάλυμμα ἄστρου.

κη΄. Οἷος ὁ Σωκράτης, τὸ κώδιον ὑπεζωσμένος, ὅτε ἡ Ξανθίππη λαβοῦσα τὸ ἱμάτιον ἐξωπροῆλθε· καὶ ἃ εἶπεν ὁ Σωκράτης τοῖς ἑταίροις αἰδεσθεῖσι καὶ ἀναχωρήσασιν, ὅτε αὐτὸν εἶδον οὕτως ἐσταλμένον.

κθ΄. Ἐν τῷ γράφειν καὶ καὶ ἀναγινώσκειν οὐ πρότερον ἄρξεις, πρὶν ἀρχθῇς. Τοῦτο πολλῷ μᾶλλον ἐν τῷ βίῳ.

λ΄. Δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου.

λα΄. Ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ.

λβ΄. Μέμψονται δ' ἀρετὴν χαλεποῖς βάζοντες ἔπεσσιν.

λγ΄. Σῦκον χειμῶνος ζητεῖν, μαινομένου· τοιοῦτος ὁ παιδίον ζητῶν, ὅτε οὐκ ἔτι δίδοται.

λδ΄. Καταφιλοῦντα τὸ παιδίον δεῖν, ἔλεγεν ὁ Ἐπίκτητος, ἔνδον ἐπιφθέγγεσθαι, Αὔριον ἴσως ἀποθανῇ. — Δύσφημα ταῦτα. — Οὐδὲν δύσφημον, ἔφη, φυσικοῦ τινος ἔργου σημαντικόν· ἢ καὶ τὸ τοὺς στάχυας θερισθῆναι δύσφημον.

λε΄. Ὄμφαξ, σταφυλή, σταφίς, πάντα μεταβολαί, οὐκ εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ νῦν μὴ ὄν.

λς΄. Λῃστὴς προαιρέσεως οὐ γίνεται· τὸ τοῦ Ἐπικτήτου.

λζ΄. Τέχνην δὲ ἔφη περὶ τὸ συγκατατίθεσθαι εὑρεῖν, καὶ ἐν τῷ περὶ τὰς ὁρμὰς τόπῳ τὸ προσεκτικὸν

φυλάσσειν, ἵνα μεθ' ὑπεξαιρέσεως, ἵνα κοινωνικαὶ, ἵνα κατ' ἀξίαν· καὶ ὀρέξεως μὲν παντάπασιν ἀπέχεσθαι, ἐκκλίσει δὲ πρὸς μηδὲν τῶν οὐκ ἐφ' ἡμῖν χρῆσθαι.

λή. Οὐ περὶ τοῦ τυχόντος οὖν, ἔφη, ἐστὶν ὁ ἀγὼν, ἀλλὰ περὶ τοῦ μαίνεσθαι, ἢ μή.

λθ'. Ὁ Σωκράτης ἔλεγε· Τί θέλετε; λογικῶν ψυχὰς ἔχειν, ἢ ἀλόγων; — Λογικῶν. — Τίνων λογικῶν; ὑγιῶν, ἢ φαύλων; — Ὑγιῶν. — Τί οὖν οὐ ζητεῖτε; — Ὅτι ἔχομεν. — Τί οὖν μάχεσθε καὶ διαφέρεσθε;

ΒΙΒΛΙΟΝ ΙΒ.

ΠΑΝΤΑ ἐκεῖνα, ἐφ' ἃ διὰ περιόδου εὔχῃ ἐλθεῖν, ἤδη ἔχειν δύνασαι, ἐὰν μὴ σαυτῷ φθονῇς. Τοῦτο δέ ἐστιν, ἐὰν πᾶν τὸ παρελθὸν καταλίπῃς, καὶ τὸ μέλλον ἐπιτρέψῃς τῇ προνοίᾳ, καὶ τὸ παρὸν μόνον ἀπευθύνῃς πρὸς ὁσιότητα καὶ δικαιοσύνην. Ὁσιότητα μὲν, ἵνα φιλῇς τὸ ἀπονεμόμενον· σοὶ γὰρ αὐτὸ ἡ φύσις ἔφερε, καὶ σὲ τούτῳ. Δικαιοσύνην δὲ, ἵνα ἐλευθέρως καὶ χωρὶς περιπλοκῆς λέγῃς τε τἀληθῆ, καὶ πράσσῃς τὰ κατὰ νόμον, καὶ κατ' ἀξίαν· μὴ ἐμποδίζῃ δέ σε μήτε κακία ἀλλοτρία, μήτε ὑπόληψις, μήτε φωνὴ, μηδὲ μὴν αἴσθησις τοῦ περιτεθραμμένου σοι σαρκιδίου· ὄψεται γὰρ τὸ πάσχον. Ἐὰν οὖν, ὅτεδήποτε πρὸς ἐξόδῳ γένῃ, πάντα τὰ ἄλλα καταλιπὼν, μόνον τὸ ἡγεμονικόν σου καὶ τὸ ἐν σοὶ θεῖον τιμήσῃς, καὶ μὴ τὸ παύσεσθαί ποτε (τοῦ)

ζῆν φοβηθῇς, ἀλλὰ τό γε μηδέποτε ἄρξασθαι κατὰ φύσιν ζῆν· ἔσῃ ἄνθρωπος ἄξιος τοῦ γεννήσαντος κόσμου, καὶ παύσῃ ξένος ὢν τῆς πατρίδος, καὶ θαυμάζων ὡς ἀπροσδόκητα τὰ καθ' ἡμέραν γινόμενα, καὶ κρεμάμενος ἐκ τοῦδε καὶ τοῦδε.

β'. Ὁ Θεὸς πάντα τὰ ἡγεμονικὰ γυμνὰ τῶν ὑλικῶν ἀγγείων καὶ φλοιῶν καὶ καθαρμάτων ὁρᾷ. Μόνῳ τῷ ἑαυτοῦ νοερῷ μόνων ἅπτεται τῶν ἐξ ἑαυτοῦ εἰς ταῦτα ἐῤῥυηκότων καὶ ἀπωχετευμένων. Ἐὰν δὲ καὶ σὺ τοῦτο ἐθίσῃς ποιεῖν, τὸν πολὺν περισπασμὸν σεαυτοῦ περιαιρήσεις. Ὁ γὰρ μὴ τὰ περικείμενα κρεάδια ὁρῶν, ἤπου γε ἐσθῆτα, καὶ οἰκίαν, καὶ δόξαν, καὶ τὴν τοιαύτην περιβολὴν καὶ σκηνὴν θεώμενος, ἀσχολήσεται.

γ'. Τρία ἐστὶν, ἐξ ὧν συνέστηκας, σωμάτιον, πνευμάτιον, νοῦς. Τούτων τἆλλα, μέχρι τοῦ ἐπιμελεῖσθαι δεῖν, σά ἐστι· τὸ δὲ τρίτον μόνον κυρίως σόν. Ὃ ἐὰν χωρίσῃς ἀπὸ σεαυτοῦ, τουτέστιν, ἀπὸ τῆς σῆς διανοίας, ὅσα ἄλλοι ποιοῦσιν, ἢ λέγουσιν, ἢ ὅσα αὐτὸς ἐποίησας, ἢ εἶπας, καὶ ὅσα ὡς μέλλοντα ταράσσει, καὶ ὅσα τοῦ περικειμένου σοι σωματίου, ἢ τοῦ συμφύτου πνευματίου, ἀπροαίρετα πρόσεστιν, καὶ ὅσα ἡ ἔξωθεν περιῤῥέουσα δίνη ἑλίσσει, ὥστε, τῶν συνειμαρμένων ἐξῃρημένην (καὶ) καθαρὰν τὴν νοερὰν δύναμιν, ἀπόλυτον ἐφ' ἑαυτῆς ζῆν, ποιοῦσαν τὰ δίκαια, καὶ θέλουσαν τὰ συμβαίνοντα, καὶ λέγουσαν τἀληθῆ· ἐὰν χωρίσῃς, φημὶ, τοῦ ἡγεμονικοῦ τούτου τὰ προσηρτημένα ἐκ προσπαθείας,

καὶ τοῦ χρόνου τὰ ἐπέκεινα, ἢ τὰ παρῳχηκότα, ποιήσῃς τε σεαυτὸν, οἷος ὁ Ἐμπεδόκλειος·

Σφαῖρος κυκλοτερὴς, κονῇ περιηθεῖ γαίων,

μόνον τε ζῆν ἐκμελετήσῃς, ὃ ζῇς, τουτέστι, τὸ παρὸν δυνήσῃ τό γε μέχρι τοῦ ἀποθανεῖν ὑπολειπόμενον ἀταράκτως καὶ εὐγενῶς καὶ ἵλεως τῷ σαυτοῦ δαίμονι διαβιῶναι.

δ΄. Πολλάκις ἐθαύμασα, πῶς ἑαυτὸν μὲν ἕκαστος μᾶλλον πάντων φιλεῖ, τὴν δὲ ἑαυτοῦ περὶ αὑτοῦ ὑπόληψιν ἐν ἐλάττονι λόγῳ τίθεται, ἢ τὴν τῶν ἄλλων. Ἐὰν γοῦν τινα θεὸς ἐπιστὰς, ἢ διδάσκαλος ἔμφρων, κελεύσῃ, μηδὲν καθ' ἑαυτὸν ἐνθυμεῖσθαι καὶ διανοεῖσθαι, ἃ μὴ ἅμα [γε] γινώσκων ἐξοίσει, οὐδὲ πρὸς μίαν ἡμέραν τοῦτο ὑπομενεῖ. Οὕτω τοὺς πέλας μᾶλλον αἰδούμεθα, τί ποτε περὶ ἡμῶν φρονήσουσιν, ἢ ἑαυτούς.

ε΄. Πῶς ποτε πάντα καλῶς καὶ φιλανθρώπως διατάξαντες οἱ θεοὶ, τοῦτο μόνον παρεῖδον, τὸ ἐνίους τῶν ἀνθρώπων, καὶ πάνυ χρηστοὺς, καὶ πλεῖστα πρὸς τὸ θεῖον ὥσπερ συμβόλαια θεμένους, καὶ ἐπὶ πλεῖστον δι' ἔργων ὁσίων καὶ ἱερουργιῶν συνήθεις τῷ θείῳ γενομένους, ἐπειδὰν ἅπαξ ἀποθάνωσι, μηκέτι αὖθις γίνεσθαι, ἀλλ' εἰς τὸ παντελὲς ἀπεσβηκέναι; Τοῦτο δὲ εἴπερ καὶ οὕτως ἔχει, εὖ ἴσθι, ὅτι, εἰ ὡς ἑτέρως ἔχειν ἔδει, ἐποίησαν ἄν. Εἰ γὰρ δίκαιον ἦν, ἦν ἂν καὶ δυνατόν, καὶ εἰ κατὰ φύσιν, ἤνεγκεν ἂν αὐτὸ ἡ φύσις. Ἐκ δὴ τοῦ μὴ οὕτως ἔχειν, εἴπερ οὐχ οὕτως ἔχει, πιστούσθω σοι, τὸ μὴ δεῆσαι οὕτω γίνεσθαι. Ὁρᾷς γὰρ καὶ αὐτὸς, ὅτι τοῦτο παραζη-

τῶν δικαιολογῇ πρὸς τὸν θεόν· οὐκ ἂν δ' οὕτω διελεγόμεθα τοῖς θεοῖς, εἰ μὴ ἄριστοι καὶ δικαιότατοί εἰσιν. Εἰ δὲ τοῦτο, οὐκ ἄν τι περιεῖδον ἀδίκως καὶ ἀλόγως ἠμελημένον τῶν ἐν τῇ διακοσμήσει.

ς'. Ἔθιζε καὶ ὅσα ἀπογινώσκεις. Καὶ γὰρ ἡ χεὶρ ἡ ἀριστερὰ, πρὸς τὰ ἄλλα διὰ τὸ ἀνέθιστον ἀργὸς οὖσα, τοῦ χαλινοῦ ἐῤῥωμενέστερον, ἢ ἡ δεξιὰ, κρατεῖ. τοῦτο γὰρ εἴθισται.

ζ'. Ὁποῖον δεῖ καταληφθῆναι ὑπὸ τοῦ θανάτου καὶ σώματι καὶ ψυχῇ· τὴν βραχύτητα τοῦ βίου, τὴν ἀχάνειαν τοῦ ὀπίσω καὶ πρόσω αἰῶνος, τὴν ἀσθένειαν πάσης ὕλης.

η'. Γυμνὰ τῶν φλοιῶν θεάσασθαι τὰ αἰτιώδη· τὰς ἀναφορὰς τῶν πράξεων· τί πόνος· τί ἡδονή· τί θάνατος· τί δόξα· τίς ὁ ἑαυτῷ ἀσχολίας αἴτιος· πῶς οὐδεὶς ὑπ' ἄλλου ἐμποδίζεται· ὅτι πάντα ὑπόληψις.

θ'. Ὅμοιον δ' εἶναι δεῖ, ἐν τῇ τῶν δογμάτων χρήσει, παγκρατιαστῇ, οὐχὶ μονομάχῳ· ὁ μὲν γὰρ τὸ ξίφος, ᾧ χρῆται, ἀποτίθεται καὶ ἀναιρεῖται· ὁ δὲ τὴν χεῖρα ἀεὶ ἔχει, καὶ οὐδὲν ἄλλο, ἢ συστρέψαι αὐτὴν, δεῖ.

ι'. Ὁποῖα αὐτὰ τὰ πράγματα, ὁρᾷν, διαιροῦντα εἰς ὕλην, αἴτιον, ἀναφοράν.

ια'. Ἡλίκην ἐξουσίαν ἔχει ἄνθρωπος μὴ ποιεῖν ἄλλο, ἢ ὅπερ μέλλει ὁ θεὸς ἐπαινεῖν, καὶ δέχεσθαι πᾶν, ὃ ἂν νέμῃ αὐτῷ ὁ θεός.

ιβ'. Τὸ ἑξῆς τῇ φύσει μήτε θεοῖς μεμπτέον· οὐδὲν γὰρ ἑκόντες, ἢ ἄκοντες, ἁμαρτάνουσι, μήτε ἀν-

θρώποις· οὐδὲν γὰρ οὐχὶ ἄκοντες. Ὥστε οὐδενὶ μεμπτέον.

ιγ'. Πῶς γελοῖος καὶ ξένος, ὁ θαυμάζων ὁτιοῦν τῶν ἐν τῷ βίῳ γινομένων;

ιδ'. Ἤτοι ἀνάγκη εἱμαρμένη, καὶ ἀπαράβατος τάξις, ἢ πρόνοια ἱλάσιμος, ἢ φυρμὸς εἰκαιότητος ἀπροστάτητος. Εἰ μὲν οὖν ἀπαράβατος ἀνάγκη, τί ἀντιτείνεις; Εἰ δὲ πρόνοια, ἐπιδεχομένη τὸ ἱλάσκεσθαι, ἄξιον σαυτὸν ποίησον τῆς ἐκ τοῦ θείου βοηθείας. Εἰ δὲ φυρμὸς ἀνηγεμόνευτος, ἀσμένιζε, ὅτι ἐν τοιούτῳ τῷ κλύδωνι αὐτὸς ἔχεις ἐν σαυτῷ τινα νοῦν ἡγεμονικόν. Κἂν παραφέρῃ σε ὁ κλύδων, παραφερέτω τὸ σαρκίδιον, τὸ πνευμάτιον, τἆλλα· τὸν γὰρ νοῦν οὐ παροίσει.

ιέ. Ἢ τὸ μὲν τοῦ λύχνου φῶς, μέχρι σβεσθῇ, φαίνει, καὶ τὴν αὐγὴν οὐκ ἀποβάλλει· ἡ δὲ ἐν σοὶ ἀλήθεια, καὶ δικαιοσύνη, καὶ σωφροσύνη προαποσβήσεται;

ις'. Ἐπὶ τοῦ φαντασίαν παρασχόντος, ὅτι ἥμαρτε, Τί δαὶ οἶδα, εἰ τοῦτο ἁμάρτημα; εἰ δὲ καὶ ἥμαρτεν, ὅτι (σὺ) κατέκρινεν αὐτὸς ἑαυτόν; καὶ οὕτως ὅμοιον τοῦτο τῷ καταδρύπτειν τὴν ἑαυτοῦ ὄψιν. Ὅτι ὁ μὴ θέλων τὸν φαῦλον ἁμαρτάνειν, ὅμοιος τῷ μὴ θέλοντι τὴν συκῆν ὀπὸν ἐν τοῖς σύκοις φέρειν, καὶ τὰ βρέφη κλαυθμυρίζεσθαι, καὶ τὸν ἵππον χρεμετίζειν, καὶ ὅσα ἄλλα ἀναγκαῖα. Τί γὰρ πάθῃ, τὴν ἕξιν ἔχων τοιαύτην; εἰ οὖν γοργὸς εἶ, ταύτην θεράπευσον.

ιζ΄. Εἰ μὴ καθήκει, μὴ πράξῃς· εἰ μὴ ἀληθές ἐστι, μὴ εἴπῃς. Ἡ γὰρ ὁρμή σου ἔστω.

ιη΄. Εἰς τὸ πᾶν ἀεὶ ὁρᾶν, τί ἐστιν αὐτὸ ἐκεῖνο τὸ τὴν φαντασίαν σοι ποιοῦν, καὶ ἀναπτύσσειν, διαιροῦντα εἰς τὸ αἴτιον, εἰς τὸ ὑλικὸν, εἰς τὴν ἀναφορὰν, εἰς τὸν χρόνον, ἐντὸς οὗ πεπαῦσθαι αὐτὸ δεήσει.

ιθ΄. Αἴσθου ποτὲ, ὅτι κρεῖττόν τι καὶ δαιμονιώτερον ἔχεις ἐν σαυτῷ τῶν τὰ πάθη ποιούντων, καὶ καθάπαξ τῶν νευροσπαστούντων σε. Τί μου νῦν ἐστιν ἡ διάνοια; μὴ φόβος; μὴ ὑποψία; μὴ ἐπιθυμία; μὴ ἄλλο τι τοιοῦτον;

κ΄. Πρῶτον, τὸ μὴ εἰκῇ, μηδὲ ἄνευ ἀναφορᾶς. Δεύτερον, τὸ μὴ ἐπ᾽ ἄλλο τι, ἢ ἐπὶ τὸ κοινωνικὸν τέλος τὴν ἀναγωγὴν ποιεῖσθαι.

κα΄. Ὅτι μετ᾽ οὐ πολὺ οὐδεὶς οὐδαμοῦ ἔσῃ, οὐδὲ τούτων τι, ἃ νῦν βλέπεις, οὐδὲ τούτων τις τῶν νῦν βιούντων. Πάντα γὰρ μεταβάλλειν καὶ τρέπεσθαι καὶ φθείρεσθαι πέφυκεν, ἵνα ἕτερα ἐφεξῆς γίνηται.

κβ΄. Ὅτι πάντα ὑπόληψις· καὶ αὐτὴ ἐπὶ σοί. Ἆρον οὖν, ὅτε θέλεις, τὴν ὑπόληψιν, καὶ ὥσπερ κάμψαντι τὴν ἄκραν, γαλήνη, σταθερὰ πάντα, καὶ κόλπος ἀκύμων.

κγ΄. Μία καὶ ἡτισοῦν ἐνέργεια, κατὰ καιρὸν παυσαμένη, οὐδὲν κακὸν πάσχει, καθ᾽ ὃ πέπαυται· οὐδὲ ὁ πράξας τὴν πρᾶξιν ταύτην, κατ᾽ αὐτὸ τοῦτο, καθ᾽ ὃ πέπαυται, κακόν τι πέπονθεν. Ὁμοίως οὖν τὸ ἐκ πασῶν τῶν πράξεων σύστημα, ὅπερ ἐστὶν ὁ βίος, ἐὰν ἐν καιρῷ παύσηται, οὐδὲν κακὸν πάσχει κατ᾽ αὐτὸ τοῦτο, καθ᾽ ὃ πέπαυται· οὐδὲ ὁ κατα-

παύσας ἐν καιρῷ τὸν εἱρμὸν τοῦτον, κακῶς διετέθη. Τὸν δὲ καιρὸν, καὶ τὸν ὅραν δίδωσιν ἡ φύσις, ποτὲ μὲν καὶ ἡ ἰδία, ὅταν ἐν γήρᾳ, πάντως δὲ ἡ τῶν ὅλων· ἧς τῶν μερῶν μεταβαλλόντων, νεαρὸς ἀεὶ καὶ ἀκμαῖος ὁ σύμπας κόσμος διαμένει. Καλὸν δὲ ἀεὶ πᾶν καὶ ὡραῖον τὸ συμφέρον τῷ ὅλῳ. Ἡ οὖν κατάπαυσις τοῦ βίου ἑκάστῳ οὐ κακὸν μὲν, ὅτι οὐδὲ αἰσχρόν· εἴπερ καὶ ἀπροαίρετον, καὶ οὐκ ἀκοινώνητον· ἀγαθὸν δὲ, εἴπερ τῷ ὅλῳ καίριον καὶ συμφέρον, καὶ συμφερόμενον. Οὕτω γὰρ καὶ θεοφόρητος, ὁ φερόμενος κατὰ ταὐτὰ θεῷ, καὶ ἐπὶ ταὐτὰ τῇ γνώμῃ φερόμενος.

κδ'. Τρία ταῦτα δεῖ πρόχειρα ἔχειν. Ἐπὶ μὲν ὧν ποιεῖς, εἰ μήτε εἰκῇ, μήτε ἄλλως, ἢ ὡς ἂν ἡ δίκη αὐτὴ ἐνήργησεν· ἐπὶ δὲ τῶν ἔξωθεν συμβαινόντων, ὅτι ἤτοι κατ' ἐπιτυχίαν, ἢ κατὰ πρόνοιαν· οὔτε δὲ τῇ ἐπιτυχίᾳ μεμπτέον, οὔτε τῇ προνοίᾳ ἐγκλητέον. Δεύτερον, τὸ ὁποῖον ἕκαστον ἀπὸ σπέρματος μέχρι ψυχώσεως, καὶ ἀπὸ ψυχώσεως μέχρι τοῦ τὴν ψυχὴν ἀποδοῦναι, καὶ ἐξ οἵων ἡ σύγκρισις, καὶ εἰς οἷα ἡ λύσις. Τρίτον, εἰ ἄφνω μετέωρος ἐξαρθεὶς κατασκέψαιο τὰ ἀνθρώπεια, καὶ τὴν πολυτροπίαν, ὅση, κατανοήσαις, συνιδὼν ἅμα καὶ ὅσον τὸ περιοικοῦν ἐναερίων καὶ ἐναιθερίων· ὅτι, ὁσάκις ἂν ἐξαρθῇς, ταὐτὰ ὄψει, τὸ ὁμοειδὲς καὶ τὸ ὀλιγοχρόνιον. Ἐπὶ τούτοις ὁ τῦφος;

κέ. Βάλε ἔξω τὴν ὑπόληψιν· σέσωσαι. Τίς οὖν ὁ κωλύων ἐκβάλλειν;

κϛ'. Ὅταν δυσφορῇς ἐπί τινι, ἐπελάθου τοῦ, ὅτι

πάντα κατὰ τὴν τῶν ὅλων φύσιν γίνεται, καὶ τοῦ, ὅτι τὸ ἁμαρτανόμενον ἀλλότριον; καὶ ἐπὶ τούτοις τοῦ, ὅτι πᾶν τὸ γινόμενον οὕτως ἀεὶ ἐγίνετο, καὶ γενήσεται, καὶ νῦν πανταχοῦ γίνεται, καὶ τοῦ, ὅση ἡ συγγένεια ἀνθρώπου πρὸς πᾶν τὸ ἀνθρώπειον γένος· οὐ γὰρ αἱματίου, ἢ σπερματίου, ἀλλὰ νοῦ κοινωνία. Ἐπιλάθου δὲ καὶ τοῦ, ὅτι ὁ ἑκάστου νοῦς θεὸς, καὶ ἐκεῖθεν ἐῤῥύηκε· τοῦ, ὅτι οὐδὲν ἴδιον οὐδενὸς, ἀλλὰ καὶ τὸ τεκνίον, καὶ τὸ σωμάτιον, καὶ αὐτὸ τὸ ψυχάριον ἐκεῖθεν ἐλήλυθεν· τοῦ, ὅτι πάνθ' ὑπόληψις· τοῦ, ὅτι τὸ παρὸν μόνον ἕκαστος ζῇ, καὶ τοῦτο ἀποβάλλει.

κζ΄. Συνεχῶς ἀναπολεῖν τοὺς ἐπί τινι λίαν ἀγανακτήσαντας, τοὺς ἐν μεγίσταις δόξαις, ἢ συμφοραῖς, ἢ ἔχθραις, ἢ ὁποιαισοῦν τύχαις ἀκμάσαντας· εἶτα ἐφιστάνειν, ποῦ νῦν πάντα ἐκεῖνα; καπνὸς, καὶ σποδὸς, καὶ μῦθος, ἢ οὐδὲ μῦθος. Συμπροσπιπτέτω δὲ καὶ τὸ τοιοῦτο πᾶν, οἷον Φάβιος Κατουλλῖνος ἐπ' ἀγροῦ, καὶ Λούσιος Λοῦπος ἐν τοῖς κήποις, καὶ Στερτίνιος ἐν Βαίαις, καὶ Τιβέριος ἐν Καπρίαις, καὶ Οὐήλιος Ῥοῦφος, καὶ ὅλως ἡ πρὸς ὁτιοῦν μετ' οἰήσεως διαφορά· καὶ ὡς εὐτελὲς πᾶν τὸ κατεντεινόμενον· καὶ ὅσῳ φιλοσοφώτερον τὸ ἐπὶ τῆς δοθείσης ὕλης ἑαυτὸν δίκαιον, σώφρονα, θεοῖς ἑπόμενον ἀφελῶς παρέχειν. Ὁ γὰρ ὑπὸ ἀτυφίᾳ τῦφος τυφόμενος, πάντων χαλεπώτατος.

κη΄. Πρὸς τοὺς ἐπιζητοῦντας, Ποῦ γὰρ ἰδὼν τοὺς θεοὺς, ἢ πόθεν κατειληφὼς, ὅτι εἰσὶν, οὕτω σέβεις; πρῶτον μὲν καὶ ὄψει ὁρατοί εἰσιν· ἔπειτα μέντοι

οὐδὲ τὴν ψυχὴν τὴν ἐμαυτοῦ ἑώρακα, καὶ ὅμως τιμῶ. Οὕτως οὖν καὶ τοὺς θεοὺς, ἐξ ὧν τῆς δυνάμεως αὐτῶν ἑκάστοτε πειρῶμαι, ἐκ τούτων, ὅτι τε εἰσὶ, καταλαμβάνω, καὶ αἰδοῦμαι.

κθ'. Σωτηρία βίου, ἕκαστον δι' ὅλου αὐτὸ τί ἐστιν ὁρᾷν, τί μὲν αὐτοῦ τὸ ὑλικὸν, τί δαὶ τὸ αἰτιῶδες· ἐξ ὅλης τῆς ψυχῆς τὰ δίκαια ποιεῖν, καὶ τἀληθῆ λέγειν. Τί λοιπὸν; ἢ ἀπολαύειν τοῦ ζῆν, συνάπτοντα ἄλλο ἐπ' ἄλλῳ ἀγαθὸν, ὥστε μηδὲ τὰ βραχύτατον διάστημα ἀπολείπειν;

λ'. Ἓν φῶς ἡλίου, κἂν διείργηται τοίχοις, ὄρεσιν, ἄλλοις μυρίοις. Μία οὐσία κοινὴ, κἂν διείργηται ἰδίοις ποιοῖς σώμασι μυρίοις. Μία ψυχὴ, κἂν φύσεσι διείργηται μυρίαις καὶ ἰδίαις περιγραφαῖς. Μία νοερὰ ψυχὴ, κἂν διακεκρίσθαι δοκῇ. Τὰ μὲν οὖν ἄλλα μέρη τῶν εἰρημένων, οἷον πνεύματα καὶ ὑποκείμενα, ἀναίσθητα καὶ ἀνοικείωτα ἀλλήλοις· καίτοι κἀκεῖνα τὸ νοοῦν συνέχει καὶ τὸ ἐπὶ τὰ αὐτὰ βρῖθον. Διάνοια δὲ ἰδίως ἐπὶ τὸ ὁμόφυλον τείνεται, καὶ συνίσταται, καὶ οὐ διείργεται τὸ κοινωνικὸν πάθος.

λα'. Τί ἐπιζητεῖς; τὸ διαγίνεσθαι; ἀλλὰ τὸ αἰσθάνεσθαι; τὸ ὁρμᾷν; τὸ αὔξεσθαι; τὸ λήγειν αὖθις; τὸ φωνῇ χρῆσθαι; τὸ διανοεῖσθαι; τί τούτων πόθου σοι ἄξιον δοκεῖ; Εἰ δὲ ἕκαστα εὐκαταφρόνητα, πρόσιθι ἐπὶ τελευταῖον, τὸ ἕπεσθαι τῷ λόγῳ καὶ τῷ θεῷ. Ἀλλὰ μάχεται τῷ τιμᾷν ταῦτα τὸ ἄχθεσθαι, εἰ διὰ τοῦ τεθνηκέναι στερήσεταί τις αὐτῶν

λβ'. Πόστον μέρος τοῦ ἀπείρου καὶ ἀχανοῦς αἰῶ-

νος ἀπομεμέρισται ἑκάστῳ; τάχιστα γὰρ ἐναφανίζεται τῷ ἀϊδίῳ. Πόστον δὲ τῆς ὅλης οὐσίας; πόστον δὲ τῆς ὅλης ψυχῆς; ἐν πόστῳ δὲ βωλαρίῳ τῆς ὅλης γῆς ἕρπεις; πάντα ταῦτα ἐνθυμούμενος, μηδὲν μέγα φαντάζου, ἢ τὸ, ὡς μὲν ἡ σὴ φύσις ἄγει, ποιεῖν, πάσχειν δὲ, ὡς ἡ κοινὴ φύσις φέρει.

λγ΄. Πῶς ἑαυτῷ χρῆται τὸ ἡγεμονικόν; Ἐν γὰρ τούτῳ τὸ πᾶν ἐστι. Τὰ δὲ λοιπὰ, εἰ προαίρετά ἐστιν, ἢ ἀπροαίρετα; νεκρὰ καὶ καπνός.

λδ΄. Πρὸς θανάτου καταφρόνησιν διεγερτικώτατον, ὅτι καὶ οἱ τὴν ἡδονὴν ἀγαθὸν καὶ τὸν πόνον κακὸν κρίνοντες, ὅμως τούτου κατεφρόνησαν.

λε΄. Ὧι τὸ εὔκαιρον μόνον ἀγαθὸν, καὶ ᾧ τὸ πλείους κατὰ λόγον ὀρθὸν πράξεις ἀποδοῦναι τῷ ὀλιγωτέρας ἐν ἴσῳ ἐστὶ, καὶ ᾧ τὸν κόσμον θεωρῆσαι πλείονι, ἢ ἐλάσσονι χρόνῳ οὐ διαφέρει, τούτῳ οὐδὲ ὁ θάνατος φοβερόν.

λς΄. Ἄνθρωπε, ἐπολιτεύσω ἐν τῇ μεγάλῃ ταύτῃ πόλει· τί σοι διαφέρει, εἰ πέντε ἔτεσιν, (ἢ τρισί;) τὸ γὰρ κατὰ τοὺς νόμους, ἴσον ἑκάστῳ. Τί οὖν δεινὸν, εἰ τῆς πόλεως ἀποπέμπει σε οὐ τύραννος, οὐδὲ δικαστὴς ἄδικος, ἀλλ᾽ ἡ φύσις ἡ εἰσαγαγοῦσα; οἷον εἰ κωμῳδὸν ἀπολύει τῆς σκηνῆς ὁ παραλαβὼν στρατηγός. — Ἀλλ᾽ οὐκ εἶπον τὰ πέντε μέρη, ἀλλὰ τὰ τρία. — Καλῶς εἶπας· ἐν μέντοι τῷ βίῳ τὰ τρία ὅλον τὸ δρᾶμά ἐστι. Τὸ γὰρ τέλειον ἐκεῖνος ὁρίζει ὁ τότε μὲν τῆς συγκρίσεως, νῦν δὲ τῆς διαλύσεως αἴτιος· σὺ δὲ ἀναίτιος ἀμφοτέρων. Ἄπιθι οὖν ἵλεως. καὶ γὰρ ὁ ἀπολύων ἵλεως.

ADNOTATIONES CRITICAE

ET

SELECTA VARIETAS LECTIONIS.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ ΒΙΒΛΙΑ ΙΒ. Haec inscriptio, quoad sciam, sola Guil. Xylandri fide nititur, qui primus hoc opusculum e Codice Bibliothecae Palatinae typis exscribendum curavit Tiguri 1558., iterumque Basileae 1568. In Vat. A. nulla totius operis aut singulorum librorum comparet inscriptio. LL. MSS., qui Excerpta opusculi continent, ni fallor, omnes inscripti sunt: *ἐκ Μ. ΑΝΤ. τῶν καθ' ἑαυτὸν* aut *καθ' αὑτόν.*

In Libr. I.

Sect. 3. pro *διαγωγῆς* Is. Casaub. ad Persii Sat. 3, 16. sq. p. 237. scribendum putabat *ἀγωγῆς*, et ita scripsit, h. l. laudans ad Capitolini Vit. M. Anton. c. 2. p. 293.

Sect. 4. *τὸ μὴ εἰς δημοσ. κ. τ. λ.* — Fuere, qui negativam expunctam mallent propter locum Capitolini in V. M. Anton. c. 3. „frequentavit et declamatorum scholas publicas."

Sect. 5. *καὶ τὸ δυσπρόσδεκτον διαβ.* — Ed. pr. et Vat. A. *δυσπρόδεκτον.* Emendarunt Mer. Casaub. et Gatak.

Sect. 6. *καὶ τὸ μὴ ὀρτυγοτροφεῖν.* — Sic omnes Edd., consentiente Vat. A. Suidas autem v. *ὀρτυγοκόπος* habet *ὀρτυγοκοπεῖν.*

καὶ τὸ ἀκοῦσαι, πρῶτον μὲν Βακχίου, εἶτα Τανδάσιδος καὶ Μαρκιανοῦ. Quum de viris h. l. memoratis nihil aliunde constet, haec nomina aliter atque aliter emendantur a VV. DD.

Sect. 7. μηδὲ [τὸ] συγγράφειν. — Ed. pr. μηδὲ τοῦ συγγρ. Vat. A. μηδὲ τὸ συγγρ., quod recepi, ita tamen, ut τὸ uncinis includerem, quum sine articulo rectius procedere videretur oratio.

ἢ τὸν εὐεργετικὸν ἄνδρα κ. τ. λ. — Sic, teste Xyl., Cod. Palat., consentiente, ni fallor, Vat. A. Xylander emendabat ἢ τὸν ἐνεργητικὸν ἄνδρα, quod certe speciem veri habet et a Coraio in ordinem receptum est.

καὶ ἐνδιαλλάκτως est ex certa emendatione Xylandri pro ἐνδιαλέκτως, quod et Pal. et Vat. A. habent.

καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς. — Menag. malebat καὶ μὴ ἀρκεῖσθαι μὴ περινοοῦντα ὁλοσχερῶς.

Sect. 8. τὸ ἐλεύθερον. — Morus malebat τὸ ἐλευθέριον. Infra 5, 5. iterum legitur τὸ ἐλεύθερον, multisque ll. ἐλευθέρως, ubi ἐλευθερίως exspectes.

μήτε ἐξηττώμενον διὰ ταῦτα. — Iunii emendationem διὰ ταύτας (χάριτας) recepit Coraius.

Sect. 9. Παρὰ Σέξτου est ex emend. Xylandri. Codd. Pal. et Vat. A. π. Ξέστου exhibent.

καὶ τὸ ἀθεώρητον τῶν οἰομένων. — Ita Ed. pr., consentiente Vat. A., nisi quod ab hoc τῶν ante οἰομένων abest. Locum haud dubie corruptum pari fere probabilitate correxerunt Gatak. et Toupius, ille: καὶ τῶν ἀθεωρήτως οἰομένων, hic: καὶ τῶν ἀθεώρητόν τι οἰομένων.

ἀλλ᾿ ἅμα ἀπαθέστατον εἶναι. — Ed. pr. ἀπεχθέστατον, typographi, opinor, errore, quem ipse Xyl. in Ed. Basil. correxit.

καὶ τὸ εὔφημον, καὶ τοῦτο ἀψοφητί. — Vat. A. καὶ τὸ ἀψοφητί. Suidas v. ἀπαθέστατα habet εὐφημότατον ἀψοφητί.

Sect. 12. διὰ τούτου τοῦ τρόπου. — Sic Vat. A., ex quo primus id recepit Cor. pro διὰ τοιούτου τρόπου, quod c. Ed. pr. rell. tenent.

Sect. 13. ἀλλὰ πειρᾶσθαι καὶ ἀποκαθιστάναι. — Particulam καὶ Reiskio suspectam sustulit Ed. Paris.

Δομιτίου. — Utraque Ed. a Xyl. curata Δομητίου, eaque nominis forma in Suida reperitur.

Sect. 14. verba κατὰ ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης videri possunt adscripta ad explicand. voc. ἰσονόμου.

τὸ ὁμαλὲς καὶ ὁμότονον primus edidit Cor. pro τὸ ἀμελὲς καὶ ὁμ., in quod cum antt. Edd. consentit Vat. A. Vix tamen dubito, quin recte emendatum sit: eadem enim prorsus ratione 6, 30. iunguntur τὸ εὔτονον et τὸ ὁμαλές. Paulo ante pro παρ' αὐτοῦ Vat. A. haud male et nescio an vulgato melius παρὰ τοῦ αὐτοῦ.

Sect. 15. Παρὰ Μαξίμου repositum est ex Vat. A., quod dudum VV. DD. restituendum viderant pro Παράκλησις Μαξίμου, quod et utraque Ed. Xyl. et aliae antt. habent.

καὶ κατὰ μηδὲν περίφορον. — Ita Ed. pr., consentiente Vat. A. Scribendum aut παράφορον aut εὐπαράφορον. posterius dedit Cor.

καὶ τὸ οὐ σχετλίως κατεργαστικόν. — Articulum, quem c. Ed. pr. reliquae omisere, ex Vat. A. recepi.

ὅτι οὐ κακῶς πράττει ex Vat. A. restitutum pro ὅτι οὐ κ. πράττῃ.

προσεισηρὰς omnes Edd. antt. VV. DD. προσσεσηρὸς malunt.

καὶ τὸ ἀδιαστρόφου. — Articulus debetur Vat. A.

καὶ τὸ εὐχαριεντίζεσθαι. — Praestat scribere εὖ χαριεντίζεσθαι secundum canonem Scaligeri, probatum cum ab aliis VV. DD., tum a Schaefero in Melett. Critt. I. p. 6. 68. sq.

Sect. 16. τοῦ κατ' ἀξίαν ἀπονεμετικὸν ἑκάστῳ ex emendatione Reisk. primus dedit Cor. pro vulg. εἰς τὸ κ. ἀξ. ἀπον. Εἰς, quod ab. h. l. alienum esse etiam Morus viderat, non dubito, quin ex praegresso ὡς, quod

librarius bis scripserat, ortum sit et occasionem dederit τοῦ in τό depravando.

ἀλλ' οὐ τὸ προαπέστη κ. τ. λ. — Ita hic locus legitur in Ed. pr., neque ex Vat. A. varietatis quidquam enotatum. VV. DD. varie tentant. Cor. dedit καὶ ὅτι οὔ ποτε προαπέστη κ. τ. λ., ut fere Gatak. voluerat.

ἐπ' αὐτοῦ σταλῆναι. — Morus malebat ὑπ' αὐτοῦ σταλῆναι, quod a Coraio probatum video, qui tamen συσταλῆναι praefert, iam a Xyl. propositum.

ἐπὶ τῶν τοιούτων τιμῶν ex Vat. A. receptum est pro vulgato ἐ. τ. τ. τονῶν, ex Ed. pr. propagato.

περὶ [τοὺς] θεοὺς δεισιδαίμον. — Articulum τούς ignorat Vat. A., quod quum coll. 2, 13. verius videretur, eum induxi.

ὧν ἡ τύχη παρέχει δαψίλειαν. — Vat. A. inverso ordine δαψίλειαν παρέχει, Mer. Casaub. et Cor. scripsere παρεῖχε, quod placet.

καὶ τὸ μηδὲ ἄν τινα εἰπεῖν ex Vat. A. dedi pro καὶ τὸ μήτε ἄν τ. ε. Morus legendum putabat καὶ μηδέποτ' ἄν τινα εἰπεῖν.

μήτε ὅτι οὐερνάκλος. — Edd. antt. addunt οἰκογενής. alterutrum e glossemate ortum VV. DD. dudum viderunt. οἰκογενής Vat. A. auctoritate expunxi.

εἰς ὀλίγιστα ἰατρικῆς χρήζειν, ἢ φαρμάκων καὶ ἐπιθεμάτων ἐκτός. — In his Ed. pr. fidem sequi placuit, nisi quod ἰατρικῆς ex Vat. A. et Suida pro ἰατρικῶν recepi et Suidae auctoritate ἐπιθεμάτων scripsi pro ἐπιθημάτων. Posterius etiam Cor. fecerat. Idem, retenta vulg. lectione ἰατρικῶν, e coniectura invexit ἢ ἐπιθ. pro καὶ ἐπιθ.

οὐδὲ μὴν εὐπαράγωγον ὑπ' αὐτῶν. — Haec verba, quae in antt. Edd. non leguntur, e Vat. A. accesserunt.

ἢ τὴν ἐξ ἱστορίας νόμων dedi ex Vat. A., expulso τῶν ante τήν, quod delendum esse Menag. et Morus viderant.

νεαρὸν εὐθὺς — Cor. malit *νεαρὸν αὖθις.*

καὶ ταῦτα ὑπὲρ τῶν κοινῶν μόνον. — Vat. A. *μόνων*, quod recepit Ed. Paris.

καὶ τοῖς τοιούτοις ἀνθρώποις πρὸς αὐτὸ[δὲ] τὸ δέον κ. τ. λ. — In depravatam hanc lectionem cum Cod. Pal. conspirat Vat. A., nisi quod hic post *αὐτό* omittit particulam *δέ*, a me uncinis septam. Probabiliter Morus: *καὶ τοῖς τοιούτοις, ὅ ἐστιν ἀνθρώπου (πρὸς) αὐτὸ τὸ δέον κ. τ. λ.* — Cor. tamen malit: *τοιούτοις ἄλλοις, πρὸς αὐτὸ τὸ δέον κ. τ. λ.*

οὐκ ἐν ἀωρεὶ λούσσης. — Sic Ed. pr., consentiente Vat. A. Scribendum aut *οὐκ ἀωρὶ* (*ἀωρίᾳ, ἐν ἀωρίᾳ*) *λούστης*; aut cum Menag. *οὐκ ἀωριλούστης.*

Ἡ ἀπὸ Δωρίου . . . . . τὰ πολλά. — Exhibui lectionem Ed. pr., in quam Vat. A. consentit. Pro *Δωρίου*, quod Xyl. in Cod. Pal. repererat, nonnullae Edd. *χωρίου* dedere. *ἀνάγουσα* corruptum esse, certissime mihi habeo persuasum. Coraio, in pluribus Salmasii vestigia legenti, locus ita constituendus videbatur: *ἡ ἐπιχώριος στολὴ καὶ ἡ κατ' ἀγρὸυς ἐκ τῆς κ. τ. λ. Χίτων ἐν* (aut *ἀχίτων ἐν*) *Λουκουβ. κ. τ. λ.*

τῷ τελώνῃ . . . . . τρόπος. — Hic quoque satius duxi, intactum relinquere verborum contextum, prout in Ed. pr. e Cod. Palat. exhibitus est, quum praesertim et Vat. A. non discrepet. *τρόπος* tamen editum ex emend. Xyl. pro *τόπος*, quod etiam Vat. A. habet. Cor. probare videtur emendationem Salmasii: *τῷ φελώνῃ ἐν Τουσκλοις παραιτουμένως* aut *παραιτούμενος ἐχρήσατο.* — Qui postrema verba ad sqq. referenda putant, malunt: *πᾶς τοιοῦτος ὁ τρόπος* aut *πᾶς ὁ τρόπος τοιοῦτος.*

ὧν πολλοὶ πρός τε κ. τ. λ. — Scribendum puto *ὧν οἱ πολλοὶ κ. τ. λ.*

καὶ ἔτι καρτερεῖν. — Aut *ἐπικαρτερεῖν* aut *ἐγκαρτερεῖν* scribendum recte monuere VV. DD.

Sect. 17. σχεδὸν ἅπαντας ἔχειν. — Xyl. Ed. utraque

— ἅπαντα σχεῖν, Vat. A. ἅπαντά ἔχειν. Nupera Ed. Paris. σχ. [ἀγαθὰ] πάντα σχεῖν.

τῶν θεῶν δὲ εὐποιΐα. — Sic recte Ed. pr. omninoque antt. Seriores autem εὐποιΐα.

καὶ τὸ μὴ ἐπὶ πλέον ἐκτραφῆναι. — Praepositio ἐπὶ, quam Edd. antt. ignorant, recepta est ex Vat. A., qui et τραφῆναι exhibet.

καὶ τὸ μὴ πρὸ ὥρ. — Copulativam, quam Edd. recentt. omisere, habent antt. omnes. Quod sequitur, ἐπιλαβεῖν, Moro suspectum, recte habet.

καὶ ἀνδριάντων [τοιῶνδέ τινων], καὶ τοῦ ὁμοίου κόμπου. — Verba τοιῶνδέ τινων Moro et Cor. suspecta uncinis coercui.

καὶ μὴ διὰ τοῦτο ταπεινότερον dedi auctoritate Vat. A. pro vulg. καὶ νὴ Δία κ. τ. λ. Est tamen fortasse, qui malit καὶ νὴ Δία μὴ διὰ τοῦτο κ. τ. λ.

ἐν ῥητορικῇ. — Vat. A. ἐν τῇ ῥητορικῇ.

ἐλπίδι τοῦ με, ἐπεὶ κ. τ. λ. — Ed. pr. et omnes antt. τοῦ μή, ἐπεὶ κ. τ. λ. Negativam ab h. l. alienam esse, vidit Mer. Casaub. et in με mutavit. Alii, ut Cor., μὴ delent.

καὶ ταῖς ἐκεῖθεν δόσεσι καὶ συλλήψεσι καὶ ἐπιπνοίαις. — Edd. antt. διαδόσεσι et ἐπινοίαις. δόσεσι est e Coraii, ἐπιπνοίαις e Mer. Casaub. emendatione.

κατὰ φύσιν ζῆν με, ἀπολείπεσθαι δὲ ἔτι τούτου. — Edd. antt. — ζῆν με, ἢ ἀπολείπεσθαι ἔτι — Vat. A. ζῆν με ἢ ἀπολείπεσθαι δὲ τὸ ἐπὶ τοῦτον (sic) παρὰ κ. τ. λ.

βοηθήματα δοθῆναι, ἄλλα τε καὶ ὡς. — Cor. scripsit δοθῆναί μοι. etc.

καὶ τούτου ἐν Καιήτῃ ὥσπερ χρήσῃ· ὅπως τε ἐπεθύμησα. — Intactum reliqui locum aperte depravatum. Cor. dedit καὶ τοῦτο. dein ὥσπερ χρησμόν in notis praefert. porro scripsit [τὸ], ὅπως τε —

μηδὲ ἀποκαθίσαι ἐπὶ τοὺς συγγραφεῖς ἢ συλλογ. κ. τ. λ. — Revocavi ex Ed. pr. ἀποκαθίσαι, quod in non-

nullis posterr. in ὀποκαθῆσαι depravatum erat. Malim porro ἐπὶ τὸ συγγράφειν, ἤ κ. τ. λ., ut legitur in Ed. noviss. Paris.

In Libr. II.

Tres priores huius libri sectiones, in Ed. pr. omnique antiquioribus ad librum primum relatae, a Gatakero demum libro secundo tributae sunt.

Sect. 1. αἰσχρῷ γάρ με οὐδεὶς περιβάλλει. — Cor. e coniect. περιβαλεῖ.

Sect. 2. καὶ κροκύφαντος. — Ita Ed. pr., consentiente Vat. A. — κροκύφαντον Edd. recentt.

ὧδε ἀπονοήθητι legitur in Edd. antt. — Cod. Vat. A. habet ᾧ δή ἀπονοήθητι. Vtrumque corruptum. Gatak. emendavit ὧδε ἐπινοήθητι, idque recepit Cor. qui tamen in notis hanc proposuit coniecturam: ᾧ δὴ ἐπινοήσας, ὅτι γέρων εἶ, μηκέτι κ. τ. λ.

ἢ μέλλον ὑποδύεσθαι. — Gatak. ὑποδείσασθαι, Cor. ὑποδεῖσαι scribendum censent.

Sect. 3. ταῦτά σοι ἀρκείτω, ἀεὶ δόγματα ἔστω. — Vat. A. — εἰ δόγματά ἐστιν. Morus coniecerat, ταῦτ' ἀεὶ δ. ἔστω, quod recepit noviss. Ed. Paris.

Sect. 4. ἀναβάλλῃ Ed. pr. — posteriores ἀναβάλῃ.

ὁποσάκις προθεσμίαν λαβὼν π. τ. θ., οὐ χρᾷ αὐταῖς. — Sic Edd. antt. Mer. Casaub. et Morus προθεσμίας scribendum existimarunt. Cor., retento προθεσμίαν, scripsit αὐτοῖς, ut coniecerat Edit. Lugdun.

ᾧ ἐὰν εἰς τὸ ἀπαιθριάσαι μὴ χρήσῃ ex emend. Gatak., praeeunte Cor., dedi pro aliar. Edd. lect. ᾧ ἐὰν εἰς τὸ μὴ ἀπαιθριάσαι χρήσῃ.

οὐχ ἥξεταί Edd. οὐκ ἐξέσται Vat. A. Neutrum verum puto, sed aut ἥξει σοι aut ἵξεται scribendum. Posterius etiam a Cor. propositum.

Sect. 5. συμμεμοιραμένα. — Elegans est Coraii coniectura, συμμεμηρυμένα.

Sect. 6. ὕβριζε αὐτήν. — Malim, quod habet Ed. noviss. Paris. ὕβριζε σεαυτήν.

εὖ γὰρ ὁ βίος ἑκάστῳ. — Corrupte. Sive *εἷς γάρ*, sive *βραχὺς γάρ*, sive *φεύγει γάρ* scripseris, non longe a sensu scriptoris aberraveris.

Sect. 7. Περισπᾷ τί σε — ῥεμβόμενος. — Intactam reliqui lectionem Ed. pr., nisi quod prius *καὶ*, pro quo in Vat. A. *εἰ* scriptum, uncinis sepsi. Malim tamen *καὶ παύσῃ.* — Cor. recepit coniect. Gatak. *μὴ περισπάτω σε τὰ κ. τ. λ.* — In sqq. Iunius pro *περιφοράν* reponendum censuit *παραφοράν*, a Moro et Cor. comprobatum.

κεκμηκότες ἐν τῷ βίῳ, praeeunte Cor., edidi e coniect. Mori, qui praepositionem *ἐν* reponendam vidit, quam praeced. syllaba *ἐς* hausisse videtur..

ἀπευθυνοῦσιν utraque Xyl. et omnes antt. Edd. — Gat. et posteriores *ἀπευθύνουσιν*. Illud revocavit Coraius.

Sect. 8. ἐν τῇ ἄλλου ψυχῇ recte Edd. antt. In posterioribus excidit articulus.

Sect. 9. ὁποίου τοῦ ὅλου. — An *ὁποῖον τοῦ ὅλου*?

πράσσειν τε ἀεὶ καὶ λέγειν. — Pro *τε* Cor. malit *σε*.

Sect. 11. εἰ δὲ ἤτοι οὐκ εἰσὶν dedi e coniect. Gatak. pro *ἢ δὲ εἴ τι κ. τ. λ.*, quae lectio est Edd. antt. Morus malebat *εἰ δ' οὐκ εἰσίν*.

ἵνα ἐπῇ πάντῃ τὸ μὴ περιπίπτειν omnes Edd. antt., nec differt Vat. A., nisi quod *ἐπεί* habet. In Ed. Glasgu. et posterioribus *τὸ* praeponitur vocabulo *πάντῃ*. Conieceram *ἵνα ἐπῇ πάντι*. Editor Paris. scripsit *ἵνα ἐπὶ πάντι ᾖ*, quod nescio an verum sit.

Sect. 12. ἢ τῷ τύφῳ διαβεβοημένα. — Cor., ni fallor, coniectura ductus, scripsit *τ. τ. διασεσοβημένα*.

τὴν εὐδοξίαν . . . Excidit *παρέχουσι* aut simile verbum, ut iam Gatak. observavit.

καὶ ὅταν πῶς ἔχῃ διακέηται τὸ τοῦ ἀνθρ. τοῦτο μόριον. — Ita vett. Edd., consentiente Vat. A., qui tamen *τις* pro *πῶς* exhibet et *τοῦτο* omittit. — Cor. recepit emendat. Mer. Casaub. — *ἔχῃ ἢ διακέηται*. Equi-

dem malim καὶ ὅταν οὕτως διακέηται τὸ ἀνθρ. κ. τ. λ. omisso ἔχῃ, quod ex interpretamento ortum arbitror.

Sect. 13. extr. μέλανα ex Vat. A. et Suida receptum pro μέλαινα Edd. antt.

Sect. 14. ἢ ὃν ἀποβάλλει. — Cor. malit ἀποβαλεῖν. καθίσταται revocavi ex antt. Edd., quod in Gatak. aliisque in καθίστηται depravatum erat.

εἰ καὶ τὸ ἀπολλύμενον οὐκ ἴσον. — Ita Edd. antt. Vat. A. omittit καί; Suidas εἰ. Cor. dedit, καὶ τὸ ἀπολλύμενον οὐκ ἴσον.

πῶς ἂν τοῦτό τις Vat. A. et Suidas pro vulg. πῶς ἄν τις τοῦτο.

εἴπερ γε ἔχει Vat. A. praebuit pro ὅπερ γε ἔχει antt. Edd..

Sect. 15. Δῆλα γὰρ τὰ πρὸς Κυνικοῦ Μονίμου λεγόμενα. — Xyl. utraque πρὸς τὸν Κυνικὸν Μόνιμον, quod VV. DD. emendarunt. Cor. dedit δῆλον γὰρ τὸ πρὸς τοῦ Κυνικοῦ Μονίμου λεγόμενον, idemque pro αὐτοῦ τὸ νόστιμον malit legi αὐτὸ τὸ νόστ.

Sect. 16. αἱ ἑκάστου τῶν λοιπῶν φύσεις. — Articulum ante ἑκάστου addidit Cor., idemque V. D. in fine sect. ἐπί τι τέλος malit.

Sect. 17. ἡ δὲ ψυχὴ, ῥόμβος· ἡ δὲ τύχη, δυστέκμαρτον. — Xyl. e Cod. Palat. etiam alteram lectionem ῥέμβος protulit, quam in Ed. Basil. recepit. Eandem habet Vat. A., qui etiam secundo loco ψυχὴ pro τύχη exhibet. — Ultimis huius Sect. verbis, οὐδὲν δὲ κακὸν κατὰ φύσιν, non dubito, quin mendi quid subsit. Reisk. post φύσιν putabat excidisse ὄν. Cor. malebat οὐδὲν δὲ κακὸν τῶν κατὰ φύσιν aut οὐδὲν δὲ τῶν κατὰ φύσιν κακόν.

In Libr. III.

Sect. 1. Ὁμοία αὖθις ἡ διάνοια. — Menag. pro αὖθις malebat αὐτῇ, quod Coraio non displicuisse video.

τῷ ἐγγυτέρω κ. τ. λ. — VV. DD. pro τῷ scribendum putant διὰ τό. Sunt tamen loca eaque haud

pauca, in quibus τῷ sq. infinitivo reperiatur positur pro διὰ τό. Vid. Heindorf. ad Plat. Gorg. p. 146. sq

Sect. 2. ἐπιπρέπει πως, καὶ .... ἰδίως ἀνακινεῖ. — Vat. A. ἐπιτρέπει. — In nupera Ed. Paris. pro ἰδίως exstat ἡδέως e probabili Menag. coniectura.

ἐν ταῖς δρυπέπεσι ἐλαίαις. — Ita, teste Xyl., Cod. Pal. in contextu (idem in marg. δρυπέτεσι); ita et Vat. A.

ὥςτε, εἴ τις ἔχοι πάθος καὶ ἔννοιαν βαθυτέραν πρὸς τὰ κ. τ. λ. — Recte et scienter Morus: „Leg. εἴ τις ἔχοι βάθος (non πάθος) πρὸς τά — deletis his, καὶ ἔννοιαν βαθυτέραν, quae explicant verbum βάθος, i. e. prudentiam."

ἡδέως πως διασυνίστασθαι. — Ultima vox suspecta Reisk. διὰ aut delerivaut in νὴ Δία mutari iussit. Corai. scripsit καὶ συνίστασθαι.

Οὕτως δὲ καὶ .... προσπεσεῖται. — Pro οὕτως, quod omnium vett. Edd. est, Ed. Paris. οὗτος, quod verum puto. Cum eod. dedi προσπεσεῖται pro προπεσεῖται, quod in illud mutandum VV. DD. dudum viderunt.

Sect. 3. αὐτὸς νοσήσας. — Priorem vocem, quam antt. Edd. ignorant, ex Vat. A. recepi. Cor. καὶ αὐτὸς νοσ. scribendum censebat.

τοσούτῳ χείρονι τῷ ἀγγείῳ, ἢ περίεστι τὸ ὑπηρετοῦν. — Loco male adfecto nondum, si quid video, efficax remedium adhibitum. Mer. Casaub. tentabat: ὅσῳ περίεστι τὸ ὑπηρετοῦν (ὁ νοῦς, qui tum servit). Morus verba ἢ περ. ὑπηρ. e glossemate orta ratus, quē ad ἀγγεῖον adscriptum esset ὅπερ ἐστὶ τὸ ὑπηρετοῦν, post ἀγγείῳ exeidisse arbitrabatur ὅσῳ κρεῖττον τὸ ἡγεμονικόν, s. κυριεῦον. Cor. nuper: ὅσῳπέρ ἐστιν ὑπηρετοῦν.

Sect. 4. το ὑπολιπόμενον. — Cor. e mente Reisk. ὑπολειπόμενον scripsit.

ποιῇ. ἦτον γὰρ ἄλλου ἔργου στέρῃ, τουτέστι φανταζόμενος κ. τ. λ. — Locus a librariis depravatus, cui vix

medeantur, quae Corai. proposuit: στέρη φανταζόμενος aut στέρη τοιοῦτό τι φανταζόμενος.

εἴ τις ἄφνω ἐπανέροιτο revocavi ex utraque Xyl. aliisque antt. Edd. pro διανέροιτο, quod, quoad sciam, a Gatak. profectum est.

ἐφ᾽ ᾧ ἂν ἐρυθριάσειας. — In Edd. Lipss. omissum. ἄν, quod ex antt. restitui.

Ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος Corai. mutatum volebat in ὁ γὰρ τοιοῦτος ἀνήρ.

ἱερεύς τις καὶ ὑπουργὸς θεῶν. — Corai. ἱερεύς τίς ἐστι κ. ὑπ. edidit. — Paulo post ad voc. ἡδονῶν excidisse opinor πασῶν.

ἄτρωτον ὑπὸ παντὸς πόνου. — Vir eleganter doctus ἄτρυτον malebat.

οἷοι μεθ᾽ οἵων φύρονται. — Ita Arg., et, ni fallor, Basil. — Rell. Edd. cum Xyl. pr. φύρωνται. Illud restituit Coraius.

Sect. 5. ἀνατεταχότος ἑαυτὸν . . . . εὔλυτος. — Editor Paris. ἀνατετακότος dedit, quod non multum abest quin verum existimem. Idem cum Gatak. malit εὐλύτως.

ἐν δὲ τὸ φαιδρὸν καὶ τὸ ἀπροσδεὲς κ. τ. λ. — Vat. A. ἐν δὲ τὸ φαινόμενον ἀποδεὲς (sic) κ. τ. λ. Coraius malit aut cum Gatak. ἐν δὲ τῷ φαιδρῷ aut cum Moro ἔτι δὲ τὸ φαιδρὸν ἔστω, aut ἐνέστω δὲ τῷ φαιδρῷ. Est, qui reponat: ἓν δὲ (aut γὰρ) τὸ φαιδρῦνον, τὸ ἀπροσδεὲς κ. τ. λ.

Sect. 6. εἰ μέν τι κρεῖττον . . . . εἰ τούτου, φημί, κρεῖσσον — Voculam τι, quam vocab. κρεῖττον addendam viderat Menag., praeeunte Cor., recepi. In iis, quae deinceps sequuntur, eiusd. V. D. auctoritatem secutus ἐν, quod in antt. Edd. ante τῇ εἱμαρμένῃ legebatur, et olim a me uncinis inclusum erat, nunc prorsus sustuli. κρεῖσσον autem in κρεῖττον mutare nondum ausus sum, in hac spriptura, ut in vocab. ἀνδρίας, a vett. Edd. non discedendum ratus.

τὸ ἴδιον καὶ τὸ σὸν κ. τ. λ. — Copulativa abest a Vat. A., quo firmari possit suspicio, alterutrum e nota marginali natum.

τῷ λογικῷ καὶ πολιτικῷ ἀγαθῷ. — Cor. emend. Gatak. *πολιτικῷ* in ordinem recepit.

τὸν παρὰ πολλῶν ἔπαινον. — Legendum videtur *τὸν παρὰ τῶν πολλῶν ἔπαινον*, et ita edidit Coraius.

Sect. 7. *ὡς συμφέρον σεαυτῷ* recte primus dedit Coraius pro *σεαυτοῦ*.

δεήσεται Xyl. Ed. pr. Nonnullae Edd. posteriores *δείσεται* — Paulo post malim *πότερον γὰρ* pro *πότερον δέ*.

οὐδ᾽ ὁτιοῦν αὐτῷ μέλει. — Vat. A. *οὐδεπωστιοῦν*, debebat *οὐδ᾽ ὁπωστιοῦν*.

ἐνεργήσων est e certiss. emend. Mer. Casaub. pro *ἐνεργήσεων* antt. Edd., pro quo in Vat. A. *ἐνερχήσειν* legitur.

ἔν τινι ἀνοικείῳ νοεροῦ πολιτικοῦ ζώου τροπῇ γενέσθαι iam olim dederam ex Vat. A., pro eo, quod in antt. Edd. legebatur, *ἔν τινι τῶν οἰκείων νοεροῦ πολιτικοῦ ζώου τροπῇ γεν.* Lectionem Vatic. etiam a Coraio probatam video. Cur idem V. D. in notis *νοερῷ πολιτικῷ ζώῳ* scribendum pronunciarit, equidem non intelligebam, quum *ἀνοίκειος* etiam aliis in locis, ut in Polyb. 6, 10, 1., genitivum adsciscat.

Sect. 8. *οὐδὲ μὴν μεμολυσμένον.* — In noviss. Edit. Paris. *μὴν* consulto omissum est: quod factum nollem. Eadem prorsus ratione Noster 1, 16. *οὐδὲν ἀπηνές, οὐδὲ μὴν ἀδυσώπητον, οὐδὲ κ. τ. λ.* — Mox *ἀπαλλάσσεσθαι* scripsi, ut habet Ed. pr., pro *ἀπαλλάττεσθαι*, etsi haec forma in hoc scriptore usitatior est.

Sect. 9. *ἀνακόλουθος* est ex emend. Mer. Casaub. pro *ἀνακόλουθον*.

Sect. 10. et *11.* cum sect. 9. coniungendae videntur. *καὶ αὐτὴ δὴ κατὰ κ. τ. λ.* — Cor. malit: *καὶ αὕτη δέ*

οὔτιγε rescripsit Cor., e coniectura, sed ea certissima, pro vulg. *οὐτέ γε*.

Sect. 11. *ὅλον δι ὅλων διηρημένως* retinui, prout habet Ed. Xyl., consentiente Vat. A. — Cor. e coniect. Menag. scripsit *ὅλον δι' ὅλου*, quod speciosum est. Legitur tamen etiam in Arriani Diss. Epict. 3, 1, 31. *ὅλον δι' ὅλων*. — Coraius porro pro *διηρημένως* malebat *διειλημμένως*. Verum Noster infra quoque *διηρημένως καὶ ὁλικῶς*, ubi non prius, sed posterius idem V. D. solicitavit.

ὥστε συνεπιβάλλειν. — Cor. coniecturam Mori *συμβάλλειν* comprobat. Equidem a vulg. standum arbitror.

ὁποίῳ τινι τῷ κόσμῳ. — Nisi fallor, aut *τῷ* delendum, aut scribendum *ὁποίῳ τῳ*. Vid. 2, 6., ubi *ὁποίου του ὅλου* legendum censeo.

τοῦτο δὲ κατὰ τὴν σύλληξιν. — Postrema vox suspecta. Corai. comprobat Mori coniect. *σύννησιν*.

ἀγνοοῦντος μέντοι, ὅ τι αὐτῷ. — Antt. Edd. *ὅτι τί αὐτῷ*. Vat. A. *ὅτι αὐτῷ*, cuius vestigia legens veram lect. restitui.

εὔνως καὶ δικαίως. — Corai. dedit *εὐνόως κ. δ.*

Sect. 12. *καὶ μηδὲν παρεμπόρευμα.* — Repet. ex antec. *ἐνεργῆς*, si quidem vera est lectio. Malim tamen, *καὶ μηδὲν παρεμπορεύῃ*.

ἐὰν τοῦτο συνάπτῃς. — Ita Edd. antt. — Cor. e Mer. Casaub. coniect. *τούτῳ* dedit.

Sect. 13. Cor. malebat *πρὸς τὸ τὰ θεῖα καὶ τἀνθρώπινα.*

Sect. 14. *ἕως ἔξεστιν*, quod coniectando praeceperant Reisk. et Cor., iam a De Ioly ex Vat. A. repositum pro *ὡς ἔξεστιν* vett. Edd.

Sect. 15. *τὸ κλέπτειν* Cor. in *τὸ συλλέγειν* mutatum velit.

Sect. 16. *καὶ Νέρωνος· τὸ δὲ τὸν νοῦν κ. τ. λ.* — Hunc locum ad mentem Gatak. ita refinxit nuperrimus Editor Paris.: *καὶ Νέρωνος, καὶ τῶν θεοὺς μὴ*

νομιζόντων, καὶ τῶν τὴν πατρίδα ἐγκαταλειπόντων, καὶ τῶν [πᾶν ὁτιοῦν] ποιούντων, ἐπειδὰν κλείσωσι τὰς θύρας. Εἰ οὖν τὰ λοιπὰ κοινά ἐστι πρὸς τὰ εἰρημένα, λοιπὸν ἴδιόν ἐστι τοῦ ἀγαθοῦ, τὸ τὸν νοῦν ἡγεμόνα ἔχειν ἐπὶ τὰ φαινόμενα καθήκοντα, [καὶ] φιλεῖν μὲν καὶ ἀσπ. κ. τ. λ. cuius vereor, ne mox poeniteat V. D. Equidem prorsus mihi nunc habeo persuasum, nihil in vulgata lect. mutandum, gratiasque ago V. D., qui me olim errantem et ποιούντων solicitantem in viam reduxit, admonens de elegante v. ποιεῖν et similium usu in re venerea.

κοσμίως ἑπόμενον θεῷ iam olim scripsi, ut exhibet Vat. A., omisso ὡς, quod in antt. Edd. ante θεῷ legebatur.

In Libr. IV.

Sect. 1. πρὸς τὰ ἡγούμενα. — Quin recte Gatak. coniecerit προηγούμενα, nemo facile dubitabit, qui Nostri 5, 20. cum h. l. contulerit.

ὅταν ἐπικρατῇ τῶν ἐπεμπιπτόντων utraque Ed. Xyl. Aliae ἐμπιπτόντων.

Sect. 3. οὐδὲν ἄλλο λέγω antt. Edd. Posteriores inde a Gatak. λέγω οὐδὲν ἄλλο.

εἰς τὸ πᾶσαν αὐτὴν ἀποκλύσαι. — Ita Xyl. utraque: neque e Vat. A. varietatis quidquam enotatum. Reisk. inter alia pro αὐτὴν reponendum censebat λύπην, quod recepit Coraius, idque scienter, quum solenne sit librariis, literas α et λ, τ et π, inter se permutare.

Τίνι καὶ δυσχεραίνεις; — Corai. malit δυσχερανεῖς, quod si quis probarit, eum etiam in sq. membro idem verbum corrigere oportebit.

Ἀλλὰ καὶ τοῖς ἐκ τῶν ὅλων κ. τ. λ. — Delevit καὶ Editor Paris. Equidem tolerandum opinor hoc καὶ ut fere eiusd. potestatis ac ἔτι in membro sq. nam ibi ἔτι iam a Casaub. recte ad ἄψεται relatum est, quod alii sequenti ἐννοήσας iunxerant.

καὶ λοιπὸν ὅσα . . . συγκατέθου. — Mihi etiamnum

nihil in his mutandum videtur, nisi quod λοιπὰ malim, sed in fine tum huius tum ceterorum membror. cogitatione repetendum παύου ποτὲ δυσχεραίνων. Cor. malebat ad mentem Mori: ἐξουσίαν, λοιπὸν ὅσα π. π. κ. ἠδ. ἀκήκοας, τούτοις συγκατάθου.

τῶν εὐφημεῖν δοκούντων nunc, praeeunte Cor., recipiendum putavi e certiss. Gatak. emendatione pro τῶν ἐφ' ἡμῖν δοκούντων. Ead. lect. varietas est in Arriani Diss. Epict 1, 16, 15.

εἰς τοῦτο τὸ ἀγρίδιον ἑαυτοῦ primus dedit Corai. e Vat. A. pro ἀρθρίδιον, quod ex Ed. Xyl. propagatum erat.

ὅσον οὐδέπω μεταβάλλει. — μεταβαλεῖ Iun. et Cor.

καὶ ὅσων .... παρατετύχηκας, συνεχῶς διανοοῦ. Ὁ κόσμος κ. τ. λ. — Nescio an haec rectius, ut Reisk. maluit, sic interpungantur: ... παρατετύχηκας; Συνεχῶς διανοοῦ· ὁ κόσμος κ. τ. λ.

Sect. 4. εἰ τὸ νοερόν. — Ita Vat. A. — In Xyl. et plerisque aliis Edd. legebatur εἰ τὸ νεορὸν, quod Ed. Lugd. et Casaub. suo iure in νοερὸν mutaverunt.

Sect. 5. Ὁ θάνατος τοιοῦτος, οἷον. — Nescio an rectius scribas: τοιοῦτό τι οἷον.

στοιχείων .... εἰς ταὐτά. — Excidisse h. l. vocabulum quoddam, ut διάκρισις, aut, quod coll. 10, 7. malim, διάλυσις, in aperto est. — ἐφ' ᾧ pro ἐφ' ὧν debetur Coraio.

Sect. 6. Ὅλως δ' ἐκείνου μέμνησο recte scripsit Corai. pro ἐκεῖνο. Vat. A. ἐκείνῳ.

Sect. 8. Ὁ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ. — Cod. a Creuzero tractatus et memoratus a V. D. ad Plotin. de Pulcr. p. 313 addit: οὐδὲ βλάπτει, quod sane speciosum est.

Sect. 9. nescio an non a praeced. seiungenda fuisset.

Sect. 10. ἀλλ' ὅτι κατὰ τὸ δίκαιον. — Cor. scripsit, quod reponendum censuerat Reisk., ἀλλ' ἔτι καὶ κατὰ τὸ δ. Nihil mutare ausus sum, quum mihi probabilius

videretur, quod V. D. nescio quis statuebat, ὅτι, loco suo motum, post μόνον esse reponendum.

Sect. 12. Τὴν μέντοι μεταγωγὴν . . . . . ἐφάνη. — In his, nisi si ipse scriptor a recto orationis tramite aberraverit, nonnihil a librariis turbatum est. Coraio placebat emendatio Mori: ὡς δίκαιον καὶ κοινωφελὲς καὶ τὰ παραπλήσια τοιαῦτα, γίνεσθαι δεῖ, οὐχ ὅτι κ. τ. λ.

Sect. 14. εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικόν. — Recte habet αὐτοῦ, sc. γεννήσαντος, i. e. Dei s. mundi: nollemque id a Bernardo solicitatum, qui αὖ reponi malebat.

Sect. 16. ἀνακάμψῃς ἐπὶ τὰ δόγματα e Xyl. utraque aliisque Edd. antt. restitui pro eo, quod Gat. etc. dabant, ἀποκάμψῃς.

Sect. 18. Ὅσην ἀσχολίαν κερδαίνει non est solicitandum. Κερδαίνειν h. l. est evitare, effugere (id, quod evitasse in lucro ponendum est), quem rariorem v. Graeci pariter ac Latini *Lucrari* usum illustrarunt Wolf. in Curis Critt. et Elsner. in Obss. ad Act. Apost. 27, 21., Abresch. ad Aeschyl. p. 36., Ernesti in Cl. Cicer. Huius observationis olim immemor coniiciebam ἀχολίαν, idque ipsum aut εὐαχολίαν, quod coniecerat Gatak., reponendum opinabatur Coraius.

ὅσιον. ἢ κατὰ τὸ ἀγαθὸν μὴ κ. τ. λ. — Locus aperte corruptus, cui ut succurratur, Moro placet, ut scribatur: ὅσιον; δεῖ γὰρ τὸν ἀγαθὸν κ. τ. λ., aliis: ἢ κατὰ τὸν Ἀγάθωνα, μὴ περιβλ. κ. τ. λ.

Sect. 19. διὰ ἐπτοημένων καὶ σβεννυμένων vereor ut sana sint et miror neminem iis offensum esse.

καὶ οὐδὲν λέγω, ὅτι πρὸς τὸν τεθνηκότα. — Editor Paris. dedit καὶ οὐ λέγω, idemque pro ὅτι maluit τί.

πάρες γὰρ νῦν . . . . λοιπόν. — Locum hunc misere corruptum, ad quem e Vat. A. nihil varietatis enotatum praeter ἐχομένην pro ἐχόμενον, ita scribi posse existimabat Coraius: παρεὶς . . . . ἔχῃ, aut. παρέντες . . . . ἐχόμεθα.

Sect. 20. καὶ ἐφ' ἑαυτὸ καταλήγει primus dedit Coraius pro καὶ ἐφ' ἑαυτῷ κ. Infra 9, 31. καταλήγειν ἐπί τι.

τό γε δὴ ὄντως καλὸν* τινὸς χρείαν ἔχει; οὐ μᾶλλον κ. τ. λ. — Xyl. utraque et aliae antt. Edd. τὸ δὲ δὴ — exhibent, pro quo, praeeunte Cor., τό γε δὴ recepi ex Vat. A., qui statim perperam οὕτως pro ὄντως exhibet. Inter verba καλὸν et τινός mihi videtur excidisse ἐπαίνου. — Corai. ex emend. Gatak. scripsit, οὔ τινος χρείαν ἔχει, οὐ μᾶλλον κ. τ. λ.

πορφύρα, λύρα, μαχαίριον. — Media vox, quae a Xyl. etc. aberat, e Vat. A. recepta. Eandem vocem exhibet Cod. Creuzer. Vid. V. D. ad Plotin. de pulcr. p. 314. — Id. Cod. in antecedd. τό γε δὴ ὄντως.

Sect. 21. τῶν .... θαπτομένων σώματα revocavi ex antt. Edd. pro θαπτόμενα, quod Gatak. primus dederat.

πρὸς ἥντινα ἐπιδιαμονήν. — Mer. Casaub. bene coniec. μετά ποσήν τινα ἐπιδ·

προσσυνοικιζομέναις comprobatum a Coraio scripsi pro προσυνοικιζομέναις. Vat. A. turbato verbor. ordine: πρὸς ταῖς συνοικιζ.

δέχεται ἡ χώρα αὕτη. — Cor. recepit coniecturam Gatak., αὐτά. Mihi quidem non displiceret ἡ αὐτή, ita ut ad δέχεται subintelligeretur pron. αὐτά.

διὰ τὰς ἐξαιμ., διὰ τὰς — Posteriore loco male repetita praepositio videbatur Coraio, qui καί substitutum mallet.

Sect. 23. pro τὸ σοὶ εὔκαιρον malim ὅ σοι εὔκ.

Sect. 24. μήποτε ἄμεινον. — Ita, teste ipso Xyl., Cod. Palat., quicum consentit Vat. A. — Voci τἀναγκαῖα addendum videtur τό, quod, uncinis tamen inclusum, recepit Coraius.

οὐ μόνον τήν. — Vat. A. μόνην, quod adscivit Cor.

μή τι τοῦτο οὐ τῶν. — Legendum videtur ex emend. Mori: μή τι τοῦτο τῶν οὐκ ἀναγκ.

Sect. 26. συμβέβηκέ σοι τι; καλῶς· ἐκ — Aut ita

interpungendum opinor, aut pro καλῶς legendum κακῶς, et post κακῶς signum interrogandi collocandum.

Νῆφε ἀνειμένος e Xyl. utraque in omnes Edd. venit, praeterquam in noviss. Paris., quae ἀνειμένως habet, quo alludere videtur ἀνειμένως in Vat. A.

Sect. 27. Pro συμπεφορημένος etiam Coraio συμπεφυρμένος non displicuisse video.

Sect. 30. ἄλλος οὗτος, ut coniecerat Gatak., pro ἄλλος οὕτως, in quod cum Edd. consentit Vat. A., nunc, praeeunte Coraio, recepi.

Sect. 32. ὄψει ταῦτα πάντα. — Cor. e coniect. Gat. ταὐτά.

